Collection des Anciens Alchimistes Grecs

Publiée sous les Auspices du Ministère de l'Instruction Publique
Par Marcellin Berthelot

Sénateur, Membre de l'Institut, Professeur au Collège de France
Avec la Collaboration de
M. Ch.-Em. Ruelle,
Bibliothécaire a la Bibliothèque Sainte-Geneviève

Seconde Livraison

Paris 1888
Georges Steinheil, Éditeur
2, Rue Casimir-Delavigne, 2

Solar Anamnesis Edition

Table des matières

1 Texte Grec.

1.1 Troisième Partie. — Zosime.

1.1.1 3. — 1. ΖΩΣΙΜΟΥ ΤΟΥ ΘΕΙΟΥ ΠΕΡΙ ΑΡΕΤΗΣ. [1]

< ΠΡΑΞΙΣ Α >

Transcrit sur M, f. 92 v. — *Collationné* (le § 1, seul existant) *sur* M, f. 115 r. (= M^2) ;— *sur* A, f. 85 r. ;— *sur* K, f. 1 r. ;— *sur* Lc, page 265. — *Nous noterons ici, une fois pour toutes, que les leçons de* M *différentes de celles de* A K *ont été reproduites, dans le manuscrit* K, *soit en marge, soit sur la ligne par une main élégante* (K mg.), *contemporaine du ms. Il en est de même des leçons de* M. *omises dans le texte de* A K.

1. Θέσις ὑδάτων, καὶ κίνησις, καὶ αὔξησις, καὶ ἀποσωμάτωσις, καὶ ἐπισωμάτωσις, καὶ ἀποσπασμὸς πνεύματος ἀπὸ σώματος, καὶ σύνδεσμος πνεύματος μετὰ σώματος, οὐ ξένων ἢ ἐπεισάκτων φύσεων, [2] ἀλλ' αὐτὴ καὶ μόνη εἰς ἑαυτὴν (f. 93 r.) ἡ μονοειδὴς φύσις [3] κέκτηται τά τε στερεόστρακα τῶν μετάλλων καὶ τὰ ὑγρόδρυα τῶν [4] βοτανῶν · καὶ ἐν τούτῳ τῷ μονοειδῆ καὶ πολυχρώμῳ σχήματι [5] σώζεται ἡ τῶν πάντων πολύλεκτος καὶ παμποίκιλος ζήτησις [6] · ὅθεν καὶ σεληνιαζομένης τῆς φύσεως τῷ μέτρῳ τῷ χρονικῷ ὑποβάλλεται, καὶ τὴν λῆξιν καὶ τὴν αὔξησιν δι' ἧς ὑποφεύγει ἡ φύσις. [7]

2. Καὶ ταῦτα λαλῶν ἀπεκοιμήθην, καὶ ὅρω ἱερουργόν τινα ἑστῶτα ἔμπροσθέν μου ἐπάνω βωμοῦ φιαλοειδοῦς. Ἔνθα δεκαπέντε [8] κλίμακας πρὸς ἀνάβασιν εἶχεν ὁ αὐτὸς βωμός. Ἔνθα ὁ ἱερεὺς ἵστατο, καὶ φωνῆς ἄνωθεν ἤκουσα λεγούσης μοι · « Πεπλήρωκα τοῦ [9] κατιέναι με ταύτας τὰς δεκαπέντε σκοτοφεγγεῖς κλίμακας, καὶ ἀνιέναι με τὰς φωτολαμπεῖς κλίμακας. Καὶ ἔστιν καὶ ὁ ἱερουργῶν καινουργῶν με, ἀποβαλλόμενος τὴν τοῦ σώματος παχύτητα, καὶ [10] ἐξ ἀνάγκης ἱερατευόμενος πνεῦμα τελοῦμαι. Καὶ ἀκούσας τῆς [11] φωνῆς αὐτοῦ ἐν τῷ φιαλοβωμῷ ἑστῶτος,

---

1. Titre dans AK : Ζωσίμου ἀρετῆς περὶ συνθέσεως ὑδάτων α'. — Dans M^2 (Ζωσίμου ἀρετῆς omis) : περὶ συνθέσεως ὑδάτων.

2. μετὰ] ἐπὶ AKLc. — ού ξένων — φύσεων] Réd. de Lc : οὐ ξένον ἢ ἐπείσακτον πρᾶγμά ἐστι τῶν φύσεων. — φύσεως M^2.

3. μόνη] μόνον M^2.

4. τὰ στερέα ὄστρακα M^2 AK Lc.

5. τῷ] τῶ et au-dessus : καὶ K. — καὶ πολυχρ]. τῶ πολυχρ. M^2 A. — σχήματι σώζεται] σχηματίζεται M^2 A ; σχηματισώ ζεται K ; πολυχρ. πράγματι σχηματίζεται Lc. f. mel.

6. ἡ τῶν πάντων — τὴν λῆξιν] Réd. de M^2 A : ἡ τοῦ παντὸς πολυτύλικτος (πολυτύληκτος M^2) παμποικιλία καὶ ζήτησις · ὅθεν ... ὑποβάλλει τὴν λῆξιν. Réd. de K : ἡ τοῦ παντός πολυτύλικτος (en marge : πολυλεκτὸς) παμποικιλία καὶ ζητ. · ὅθεν κ. τ. λ. (comme dans M).

7. δι' ἧς ὑποφεύγει ἡ φύσις] Leçon de M^2 ALc ; δὶς ἱπεύει ἡ φ. M.

8. μου] τοῦ AKLc. — φιαλ.] τοῦ φιαλ. Lc. — δεκαπέντε] αἱ AK ; τὰς Lc.

9. ἄνωθεν ἤκ. λεγ. μοι] ἤκ. λεγ. μοι ἄνωθεν Lc. — πεπληρώκαται A ; πεπληρώκατε K.

10. καὶ καινουργῶν Lc. — ἀποβαλλόμενος] ὃς ἀποβάλλει Lc. — Après παχύτητα] ἀπ' ἐμοῦ add. Lc, f. mel.

11. καὶ ἐξ ἀνάγκης — ἀκούσας] Réd. de Lc : ἐγὼ δὲ ἐξ ἀν. ἱερατεύομαι καὶ πνευματοτελειοῦμαι · ἐγὼ δὲ ἀκούσας. — τελοῦμαι] τελειούμενοι AK (biffé dans K) et K mg. : τελοῦμαι.

ἠρώτων βουλόμενος [12] μαθεῖν παρ' αὐτοῦ τίς ὑπάρχει. Ὁ δὲ ἰσχνοφώνως ἀπεκρίνατό μοι [13] λέγων · « Ἐγώ εἰμι ὁ Ἴ ω ν ὁ ἱερεὺς τῶν ἀδύτων, καὶ βίαν [14] ἀφόρητον ὑπομένω. Ἦλθεν γάρ τις περὶ τὸν ὄρθρον δρομαίως, καὶ [15] ἐχειρώσατό με μαχαίρῃ διελών με, καὶ διασπάσας κατὰ σύστασιν ἁρμονίας. Καὶ ἀποδερματώσας τὴν κεφαλήν μου τῷ ξίφει τῷ [16] ὑπ' αὐτοῦ κρατουμένῳ, τὰ ὀστέα ταῖς σαρξὶ συνέπλεξεν, καὶ τῷ πυρὶ τῷ διαχείρως κατέκαιεν, ἕως ἂν ἔμαθον μετασωματούμενος πνεῦμα γενέσθαι. Καὶ αὕτη μου ἐστὶν ἡ ἀφόρητος βία. » Καὶ ὡς ἔτι ταῦτά μοι διελέγετο, καὶ ἐξεβιαζόμην αὐτὸν εἰς τὸ λέγειν, ὥσπερ [17] αἷμα γεγόνασιν οἱ ὀφθαλμοὶ αὐτοῦ. Καὶ ἤμεσεν πάσας τὰς σάρκας [18] αὐτοῦ. Καὶ (f. 93 v.) εἶδον αὐτὸν ὡς τοὐναντίον ἀνθρωπάριον [19] κολοβόν · καὶ τοῖς ὀδοῦσιν ἑαυτοῦ ἑαυτὸν μασσώμενον, καὶ συμπίπτοντα. [20]

3. Καὶ φοβηθεὶς διυπνίσθην καὶ ἐνεθυμήθην ; « Μὴ οὕτως ἄρα [21] ἐστὶν ἡ τῶν ὑδάτων θέσις ; » Ἔδοξα πείθειν ἑαυτὸν νενοηκέναι καλῶς. Καὶ πάλιν ἀπεκοιμήθην. Καὶ εἶδον τὸν αὐτὸν φιαλοβωμόν, καὶ ἐπάνω ὕδωρ καχλάζον, καὶ πολὺν λαὸν εἰς αὐτὸν ἄπειρον ὄντα. Καὶ οὐκ ἦν [22] τις ἵνα ἐρωτήσω αὐτὸν ἔξω τοῦ βωμοῦ. Καὶ ἀνέρχομαι ἐπὶ τὸ ἰδέσθαι [23] τὴν θέαν εἰς τὸν βωμόν. Καὶ ὁρῶ πεπολιωμένον ξηρουργὸν ἀνθρωπάριον [24] λέγοντά μοι. « Τί σκοπεῖς. » Ἀπεκρινάμην αὐτῷ ὅτι θαυμάζω [25] τοῦ ὕδατος τὸν βρασμὸν καὶ τῶν ἀνθρώπων συγκαιομένων καὶ ζώντων. [26] Καὶ ἀπεκρίνατο μοι λέγων. « Αὕτη ἡ θέα ἣν ὁρᾷς εἴσοδός ἐστι καὶ ἔξοδος καὶ μεταβολή. Ἐπηρώτησα οὖν αὐτὸν πάλιν. « Ποία μεταβολή [27] ; » Καὶ ἀπεκρίνατο λέγων. « Τόπος ἀσκήσεως τῆς λεγομένης [28] ταριχείας. Οἱ γὰρ θέλοντες ἄνθρωποι ἀρετῆς τυχεῖν ὧδε εἰσέρχονται, καὶ γίνονται πνεύματα, φυγόντες τὸ σῶμα. » Ἔλεγον οὖν αὐτῷ. « Καὶ σὺ πνεῦμα εἶ ; » Καὶ ἀπεκρίνατο λέγων. « Καὶ πνεῦμα καὶ [29] φύλαξ πνευμάτων. » Καὶ ἐν τῷ ὁμιλεῖν ἡμᾶς ταῦτα, καὶ προστιθεμένου τοῦ βρασμοῦ καὶ τοῦ λαοῦ ὀλολύζοντος, εἶδον ἄνθρωπον χαλκοῦν δέλτον

12. αὐτοῦ τοῦ Lc. — ἑστῶτι MK. — ἠρωτοῦν M ; ἠρώτονμαι μαθεῖν A ; ἠρώτουν με μαθεῖν K (με sous-pointillé). — Ajouté βουλόμενος d'après Lc.

13. ὁ δὲ — ἀπεκρίν.] οὗτος ὁ ἰσχνόφωνος · αὐτὸς δὲ ἀπεκρίν Lc. — ἰσχνοφώνος A ; ἰσχνόφωνος K.

14. ὁ Ἴων] οἴων A ; ὁ ὢν Lc.

15. Ajouté καὶ d'après Lc.

16. Avant τὴν κεφαλήν] πᾶσαν add. A.

17. διελέγετο] ἔλεγε Lc. — ὥσπερ] F. l. ὅπως.

18. γεγόνασιν οἱ ὀφθ. αὐτοῦ ὥσπερ αἷμα Lc.

19. αὑτοῦ] F. l. αὐτοῦ. — τοὐναντίον om. Lc, f. mel.

20. ἑαυτοῦ] αὐτοῦ Lc ; om. A. — μασσῶντα Lc.

21. διυπνίσθην] δὲ ὑπνίσθην MAK.

22. κοχλάζον MAK ici et plus loin (p. suiv., l. 8).

23. Lc place ἔξω τοῦ βωμοῦ aussitôt après τις. — ἀνέρχομαι ἐπὶ τὸ ἰδέσθαι] ἀνερχόμενος ἐπιτηδεύεσθαι AK ; ἀνερχόμενος δὲ πρὸς τὸ ἐπιτηδεύεσθαι Lc.

24. εἰς τὸν βωμὸν] τοῦ βωμοῦ K. — Καὶ ἰδοὺ ὁρῶ Lc. — ξηρουργὸν] υ au-dessus de η dans M.

25. λέγοντά μοι] καὶ λέγει μοι AKLc. — Καὶ ἀπέκριν. ALc.

26. καὶ τῶν ἀνθρ. συγκ. καὶ ζ.] καὶ τοὺς ἀνθρώπους καὶ ζῶντας (τοὺς ζ. Lc) συγκαιομένους AKLc.

27. μεταβολῆ M. — καὶ ἐπηρ. αὐτὸν πάλιν Lc. — ποῖα μέταβολῆ M.

28. μοὶ λέγων AKLc. — τόπος] F. l. τρόπος. — τόπος ἀσκ. οὗτος τῆς λεγ. ταρ. ἐστίν Lc.

29. μοι λέγων AKLc.

μολυβδίνην κατέχοντα ἐν τῇ χειρὶ αὐτοῦ. Καὶ ἐξεῖπεν [30] τῇ φωνῇ βλέπων τὴν δέλτον. « Τοῖς ἐν ταῖς κολάσεσι πᾶσιν ἐπιτρέπω [31] καθευθῆναι καὶ ἕκαστον ἐν τῇ χειρὶ αὐτοῦ λαβεῖν δέλτον μολυβδίνην, καὶ [32] χειρὶ γράφειν, καὶ τὰς ὄψεις < ἔχειν > ἄνω καὶ τὰ στόματα ὑμῶν ἀνεωγμένα, [33] ἕως ἂν αὐξήσῃ ἡ σταφυλὴ ὑμῶν. Καὶ τῷ λόγῳ τὸ ἔργον ἠκολούθει, καὶ λέγει μοι ὁ οἰκοδεσπότης. « Ἐθεώρησας · ἐξέτεινας τὸν αὐχένα σου ἄνω, καὶ εἶδες τὸ πραχθέν ; » Καὶ εἶπον ὅτι εἶδον, καὶ λέγει μοι ὅτι « Τοῦτον ὃν εἶδες χαλκάνθρωπον (f. 94 r.), [34] οὗτός ἐστιν ὁ ἱερουργῶν καὶ ἱερουργούμενος, καὶ τὰς ἰδίας σάρκας ἐξεμοῦντα. [35] Καὶ αὐτῷ ἐδόθη ἡ ἐξουσία τοῦ ὕδατος τούτου καὶ τῶν τιμωρουμένων. [36]

4. Καὶ ταῦτα ἐμφαντασθεὶς διυπνίσθην πάλιν. Καὶ εἶπον πρὸς [37] ἑαυτόν · « Τίς ἡ αἰτία τῆς ὀπτασίας ταύτης ; Μὴ ἄρα τοῦτό ἐστιν [38] τὸ ὕδωρ τὸ λευκόν τε καὶ ξανθὸν τὸ καχλάζον, τὸ θεῖον ; » Καὶ ηὗρον ὅτι μᾶλλον καλῶς ἐνόησα. Καὶ εἶπον ὅτι καλὸν τὸ λέγειν, καὶ καλὸν τὸ ἀκούειν, καὶ καλὸν τὸ διδόναι, καὶ καλὸν τὸ λαμβάνειν, καὶ καλὸν τὸ πενητεύειν, καὶ καλὸν τὸ πλουτεῖν. Καὶ πῶς ἡ φύσις μανθάνει διδόναι καὶ λαμβάνειν ; Δίδωσιν ὁ χαλκάνθρωπος, καὶ λαμβάνει ὁ ὑγρόλιθος · δίδωσι τὸ μέταλλον, καὶ λαμβάνει ἡ βοτάνη · δίδουσιν οἱ ἄστερες, καὶ λαμβάνει τὰ ἄνθη · δίδωσιν ὁ οὐρανὸς, [39] καὶ λαμβάνει ἡ γῆ δίδουσιν αἱ βρονταὶ τοῦ ἐκτροχίζοντος πυρός. [40] Καὶ συμπλέκονται τὰ πάντα, καὶ ἀποπλέκονται τὰ πάντα, καὶ μίσγονται [41] τὰ πάντα, καὶ συντίθενται τὰ πάντα, καὶ κίρναται τὰ πάντα, [42] καὶ ἀποκίρναται τὰ πάντα, καὶ βρέξει τὰ πάντα, καὶ ἀποβρέξει τὰ πάντα, [43] καὶ ἀνθεῖ τὰ πάντα, καὶ ἐξανθεῖ τὰ πάντα ἐν τῷ φιαλοβωμῷ. Ἕκαστον [44] γὰρ μεθόδῳ καὶ σηκώματι καὶ οὐγγιασμῶ τετραστοίχῳ, ἡ τῶν ὅλων συμπλοκὴ, καὶ ἀποπλοκὴ, καὶ, ὁ πᾶς

30. αὐτοῦ] F. l. αὐτοῦ. — Réd. de Lc : καὶ ἐξεῖπέ μοι τῇ φωνῇ · ὅρα ταύτῃ τῇ δέλτῳ ἐν ταῖς κ. π. ἐπιτρ. καθεσθῆναι, κελεύω δὲ ἕκαστον.

31. ἐπιτρέπων AK.

32. καθευθῆναι] AK. F. l. καθαρθῆναι, avoir été purifié (αρ diffère peu de ευ dans les mss. du 10e siècle).

33. Réd. de Lc : ... γράφειν ἕως ἄν αὐξ. ἡ σταφ. αὐτῶν καὶ τὰ στόμ. αὐτῶν ἀνεωγ. καὶ τὰς ὄψ. ἄνω ἔχειν. Ajouté ἔχειν d'après Lc.

34. Lc place les mots καὶ τὰς ἰδίας σάρκας ἐξιοῦντα (*sic*) après χαλκάνθρωπον, ce qui vaut mieux.

35. ἐξεμοῦντα] ἐξιοῦντα AK.

36. τούτου — τιμωρουμένων] τούτου καὶ ἔστιν ὁ τιμωρούμενος Lc, f. mel.

37. Réd. de Lc : Καὶ ταῦτα ἐφαντάσθην καὶ πάλιν διυπνίσθην.

38. ἑαυτὸν] ἐμαῦτὸν Lc. — Après ταύτης] τί τοῦτο εἶναι AK (sous-pointillé dans K) ; τί τοῦτό ἐστι ; Lc.

39. λαμβάνουσιν AK.

40. ἐκτροχίζοντος] ἐκ τοῦ τροχίζοντος AKLc (ἐκ sous-pointillé dans K). F. l. ἐκτροχάζοντος.

41. καὶ μίσγονται — φιαλοβωμῷ] Réd. de Lc : καὶ συντίθενται τὰ π., καὶ μιγνύονται τ. π. καὶ ἀποκίρνανται τ. π., καὶ κυβερνᾶται τ. π. καὶ ἀποβρέχονται τὰ πάντα, κ. τ. λ.

42. κιρνᾶται M, κυβέρνατε A ; κυβερνᾶται KLc.

43. βρέχει A, f. mel. — ἀποβρέχονται Lc.

44. ἕκαστον — Καὶ τὰ πάντα] Réd. de AK : ἔκκοπον ἄριστον μεθόδῳ καὶ συγκόματι καὶ συνκεράσματι τετραστίχω, ἡ (εἰ A) τῶν ὅλ. συμπλ. ἐστιν καὶ φυσήματι καὶ τὰς τάξεις τηροῦσα τῆς μεθ. αὔξ. καὶ ὀλιγοῦσα, καὶ πάντα. — Réd. de Lc : ἀρίστῳ μεθόδῳ καὶ συγκόμματι καὶ οὐγγιασμῷ, καὶ συγκεράσματι τετραστοίχῳ · ἡ δὲ τῶν ὅλ. πραγματεία συμπλ. ἐστι καὶ ἀποπλ. καὶ ὁ π. σ. οὐκ ἀ. μεθ. γίν · ἡ μέθ. φυσ. ἐ. καὶ φυσ. κ. ἐκφυσ. κ. τὰς τ. τηρ. τῆς μεθ., αὐξάνουσα καὶ ἐλαττοῦσα. κ. τὰ πάντα ...

σύνδεσμος ἄνευ μεθόδου [45] οὐ γίνεται. Ἡ μέθοδος φυσική ἐστιν, καὶ φυσῶσα καὶ ἐκφυσῶσα, καὶ τὰς τάξεις τηροῦσα τῆς μεθόδου, αὔξουσα καὶ λήγουσα. [46] Καὶ τὰ πάντα ὡς ἐν συντόμῳ σύμφωνα τῇ διαιρέσει καὶ τῇ ἑνώσει, [47] τῆς μεθόδου μηδὲν ὑπολειφθείσης, ἐκστρέφει τὴν φύσιν. Ἡ γὰρ φύσις στρεφομένη εἰς ἑαυτὴν στρέφεται · καὶ αὕτη ἐστὶν ἡ τοῦ παντὸς κόσμου τῆς ἀρετῆς φύσις καὶ σύνδεσμος. [48]

5. Καὶ ἵνα μὴ διὰ πολλῶν σοι γράφω, φίλτατε, κτῖσαι ναὸν [49] μονόλιθον ψιμυθοειδῆ, ἀ- (f. 94 v.) λαβαστροειδῆ, προκοννήσιον, [50] μήτε ἀρχὴν ἔχοντα, μήτε τέλος ἐν τῇ οἰκοδομῇ · πηγὴν δὲ ἔσωθεν ἔχουσαν ὕδατος καθαρωτάτου, καὶ φῶς ἐξαστράπτον ἡλιακόν. Περιέργασαι [51] δὲ πόθεν ἡ εἴσοδος τοῦ ναοῦ, καὶ λάβε ἐπὶ χεῖράς σου ξίφος, καὶ οὕτως [52] ζήτει τὴν εἴσοδον. Στενόστομος γάρ ἐστιν ὁ τόπος ὅθεν ἐστὶν ἡ ἄνοιξις [53] τῆς εἰσόδου · καὶ δράκων παράκειται τῇ εἰσόδῳ, φυλάττων τὸν ναόν. [54] Καὶ τοῦτον χειρωσάμενος, πρῶτον θῦσον · καὶ ἀποδερματώσας αὐτὸν, [55] καὶ λαβὼν τὰς σάρκας αὐτοῦ μετὰ τῶν ὀστέων, διέλης μέλη [μέλη], [56] καὶ συνθεὶς μέλος [μέλος] μετὰ τῶν ὀστέων πρὸς τὸ στόμιον τοῦ ναοῦ [57] ποίησον ἑαυτῷ βάσιν, καὶ ἀνάβηθι, καὶ εἴσελθε, καὶ εὑρήσεις ἐκεῖ τὸ ζητούμενον χρῆμα. Τὸν γὰρ ἱερέα τὸν χαλκάνθρωπον ὃν ὁρᾷς ἐν τῇ [58] πηγῇ καθήμενον καὶ τὸ χρῆμα συνάγοντα · ἐκεῖνον δὲ οὐχ ὡς χαλκάνθρωπον [59] · μετέβη γὰρ τοῦ χρώματος τῆς φύσεως, καί γέγονεν ἀργυράνθρωπος, [60] ὅν μετ' ὀλίγον ἐὰν θελήσῃς ἕξεις χρυσάνθρωπον. [61]

6. Τοῦτο τὸ προοίμιόν ἐστιν εἴσοδος τοῦ ἀνοίγεσθαί σοι τὰ παρακάτω [62] ἄνθη λόγων, καὶ ζητήσεις ἀρετῶν, καὶ σοφίας, καὶ φρονήσεως, καὶ νοῦ δόγματα, καὶ μέθοδοι δραστικαὶ, καὶ ἀποκαλύψεις κεκρυμμένων ῥήσεων εἰς φανερὸν γινομένων

45. καὶ ἀποπλοκὴ restitué en marge de M et de K.

46. τηροῦσα] στηροῦσα M.

47. ἐν συντόμῳ] συντόμως Lc. — Après ἑνώσει] Réd. de Lc : ποιοῦσα τῇ μεθόδῳ μηδενὸς ὑποληφθέντος · ἡ γὰρ μέθοδος ἐκστρέφει τὴν φύσιν, καὶ ἡ φύσις στρεφ. κ. τ. λ.

48. A mg. : σῆ.

49. Ἵνα δὲ μή σοι δ. π. γρ. ὦ φιλτ. κτίσον ν. μ. ψιμμυθ. κ. τ. λ. Lc. — γράφω] λέγω ἢ γρ. AK.

50. Προικοννήσιον Lc.

51. καὶ περιεργάζου ποῦ ἐστιν ἡ εἴσ. Lc.

52. λαβὼν AKLc.

53. στενόστομος γὰρ] στενὸς γάρ μοι AK ; στενὸς γάρ Lc. — ὅθεν] ἔνθα AK ; ὅπου Lc.

54. καὶ δράκων] δράκων δέ τις Lc. — Lc mg. : Ligne verticale, en guise de guillemets jusqu'à la fin du paragraphe.

55. ἀποδερμάτωσον AKLc. — αὐτὸν om. AKLc.

56. καὶ λαβὼν τὰς σάρκας αὐτοῦ — καὶ ἀνάβηθι] Réd. de Lc : καὶ λαβὼν τ. σ. αὐτοῦ, δίελε εἰς τὰ μέλη αὐτοῦ καὶ σύνθες πάντα τὰ μέλη τοῖς μέλεσι μ. τ. ὀστέων · καὶ ποίησον σεαυτῷ βάσιν πρὸς τὸ στ. καὶ ἀνάβηθι. — μέλη μέλη] F. l. μέλη μεληδὸν.

57. μέλος μέλος] F. l. μέλος μέλει.

58. τὸν γὰρ ἱερέα τὸν χαλκ.] ὁ γὰρ ἱερεὺς ὁ ὢν χαλκάνθρωπος Lc. — Rapprocher de ce passage le morceau 3, 35.

59. τὸ χρῆμα] F. l. τὸ χρῶμα (*M. B.*). — οὐχ ὁρᾷς AK qui omettent ὡς. — Réd. de Lc : Οὐχ ὁρᾷς δὲ αὐτὸν εἶναι χαλκ.

60. μετέθη τὰ τοῦ χρώματος A ; μετέχθη γὰρ (ajouté) τὰ τ. χρ. K ; μεταβάλλεται ἐκ τοῦ χρ. Lc.

61. ἕξεις] εὑρήσεις AKLc.

62. τοῦτο — γινομένων] Réd. de Lc : Καὶ τοῦτο ἔστω σοι τὸ πρ. Ἀνοίγονται δέ σοι μετέπειτα τὰ ἄνθη τῶν λόγ. καὶ αἱ ζητ. τῆς ἀρετῆς κ. τ. σ. κ. τῆς φύσεως, κ. τῆς φρ. καὶ τὰ δ. τοῦ νοῦ καὶ αἱ μεθ. αἱ δρ. καὶ αἱ ἀπ. τῶν κεκρ. ῥ. φανερῶν γενομένων.

· καὶ τὸ πᾶν ὁ τῆς ἀρετῆς μεθοδεύει ὁ χρόνος.[63]

7. Καὶ τί ἐστιν « νικῶσα φύσις τὰς φύσεις, » καὶ « ἀποτελεῖται καὶ γίνεται ἰλιγγιῶσα, » καὶ « ἐκθλιβομένη πρὸς τὴν ζήτησιν, κοινὸν πρόσωπον τοῦ παντὸς τῆς ἐργασίας ὁρωμένης, ἀναλαμβάνει[64] καὶ τὴν οἰκείαν ὕλην τοῦ εἴδους κατεσθίει ; » Καὶ « εἶθ' οὕτως πεσοῦσα[65] τοῦ προτέρου σχήματος θνήσκειν οἴεται ; » Καὶ « ὅταν βαρβαρίζουσα[66] μιμεῖται οἷον ἰουδαϊκὴν ἔχοντος, τότε διεκδικήσασα ἑαυτὴν ἡ τάλαινα[67] κουφοτέρα ἑαυτῆς γίνεται, μίξιν ἔχουσα τῶν ἰδίων (f. 95 r.) μελῶν ; » Καὶ « τὸ ὑγρὸν ἅμα πυρὶ καὶ τελεσφορεῖται ; »

8. Ἐν τούτοις τοῖς νοήμασι τοῦ νοῦ σαφῶς ἐκστρέψας τὴν[68] φύσιν ἐπίστηθι, καὶ τὴν πολύϋλον ὡς μονόϋλον λογίζου, μηδενὶ σαφῶς καταλέγων τὴν τοιαύτην ἀρετὴν, ἀλλ' αὐτὸς ἑαυτῷ ἀρκέσθητι, μή πως καὶ λέγων ἑαυτὸν ἀνέλῃς. Ἡ γὰρ σιωπὴ διδάσκει τὴν ἀρετήν. Καλὸν ἰδεῖν τῶν τεσσάρων μετάλλων τὰς μεταβολὰς,[69] μολύβδου, χαλκοῦ, ἀσήμου, ἀργύρου, κασσιτέρου εἰς τὸ γενέσθαι[70] τέλειον χρυσόν. Λαβὼν ἅλας νότισον τὸ θεῖον τὸ ἀγλαΐζον τὸ κηρομελές[71] · δῆσον ὁποτέρων τὴν ἰσχὺν, καὶ χάλκανθον μεσίτευε,[72] καὶ ποίησον ὄξος ἐξ αὐτῶν πρωτοζύμιον ἀργοὺς καὶ χαλκάνθου · κατὰ[73] βαθμὸν δὲ καὶ ἐν τούτοις τὸν λευκοειδῆ δαμάσεις χαλκὸν ἀνάγκῃ,[74] καὶ εὑρήσεις μετὰ πέμπτην μέθοδον ὑπὸ τὰς γ' αἰθάλας, ἑξῆς γίνεται[75] ὁ λεγόμενος χρυσός. Ἰδοὺ καὶ τὴν ὕλην ἀπέχεις δαμάζων τὸ μονόειδον[76] ὡς πολύειδον.

*
**

63. καὶ τὰ πάντα τῆς ἀρ. AK. — Réd. de Lc : τὰ δὲ πάντα τ. ἀρ. μεθοδεύσει σοι χρόνος · καὶ ἡ φύσις ἡ νικ. τὰς φ., ἀποτ. τελεία φύσις.

64. κοινὸν πρόσωπον ...] κοινοῦ προσώπου τ. π. τ. ἐ. ὁρᾶται Lc.

65. καὶ τὴν οἰκ.] καὶ om. AK. — Réd. de Lc : καὶ ἀναλαμβ. τὴν οἰκ. ὕλην καὶ τὸν ἰὸν κατεστίει · εἶθ οὕτως ... — Τοῦ ἰοῦ δὲ κατεσθίον AK.

66. θνήσκειν οἴεται] θνήσκει Lc. — ὅτε βαρβαρίζειν AK : ἢ καὶ ὅτε βαρβαρίζει Lc.

67. ἐκδικήσαντα AK. — Réd. de Lc : μιμεῖται τὸν τὴν ἰουδ. γλῶσσαν λαλοῦντα, ποτὲ δὲ ἐκδικήσαντα.

68. Ἐν τούτοις οὖν Lc.

69. κάλλιστον δὲ ἔστιν ἰδεῖν Lc.

70. μολύβδου ...] ἤγουν τοῦ μολ., τοῦ χ., τοῦ κασ., τοῦ ἀργ., ἵνα γένωνται τέλειος χρυσός Lc ; même leçon dans AK jusqu'à ἀργ., moins le mot ἤγουν, — Les mots ἀσήμου et ἀργύρου sont la traduction du signe lunaire ; l'un des deux est de trop. Lc écrit ἀργύρου en toutes lettres.

71. νότισον] πότησον AK ; πότισον Lc. — Le π et le ν diffère peu dans la cursive du 4[e] au 7[e] siècle.

72. δῆσον ὅτι τὴν ἰ. ἔχων καὶ χαλκ. AK ; καὶ δῆσον ὅτι τὴν ἰ. ἔχει, καὶ μεσ. χαλκ. Lc. F. l. νόησον.

73. αὐτῶν] αὐτοῦ Lc. — πρωτοζώμιον AKLc. — ἀργοῦς Lc. — καὶ χαλκάνθου ·] Réd. de Lc : τὸν δὲ χάλκανθον ποίει κ. β., καὶ ἐν τούτοις. — χάλκανθον AK, — καταβαθμὸν M ; καταβαθμῶν AK.

74. ἀνάγκῃ] ἀνάγαγε AK ; καὶ ἀνάγαγε αὐτὸν καὶ εὑρ. Lc.

75. μέθοδον, ὑπὸ δὲ τὰς τρεῖς αἰθ. Lc.

76. Ἰδοὺ καὶ] εἰ δὲ καὶ AKLc. — δάμαζε Lc. — τὸ μον. ὡς πολ.] τὸ μον. τὸ ἐκ πολλῶν εἰδῶν AK ; τὸ μον. ὡς πολ., ἤγουν τὸ ἐκ πολλῶν εἰδῶν κατασκευαζόμενον Lc, qui poursuit avec la πρᾶξις β'.

1.1.2 3. — 2. ΖΩΣΙΜΟΣ ΛΕΓΕΙ ΠΕΡΙ ΤΗΣ ΑΣΒΕΣΤΟΥ. [77]

Transcrit (§ 1 et 2) *sur* M, f. 95 r., et (§ 3) *sur* A, f. 8 v. — *Collationné la copie de* M *sur* A, f. 8 r.

1. Δῆλα ὑμῖν ποιοῦμαι · γινώσκεται γὰρ ὅτι ὁ λίθος ὁ ἀλαβαστρίτης [78] ἐγκέφαλος κέκληται διὰ τὸ κάτοχον αὐτὸν εἶναι πάσης βαφῆς φευκτῆς. Λαβὼν οὖν τὸν ἀλαβάστρινον λίθον, ὄπτα νυχθήμερον, καὶ ἔχε ἄσβεστον, καὶ λάβε ὄξος δριμύτατον καὶ κατάσβεσον · καὶ θαυμάσεις · θείαν γὰρ ποίησιν τὴν ἐπιφάνειαν λευκοτάτην ποιεῖ. Καὶ ἔα καταστῆναι, καὶ ἐπίβαλλε αὐτῷ ὄξους δριμυτάτου οὐκ ἐμφίμῳ ἀλλ' ἀπώμῳ, [79] ἵνα τὴν ἐπιτρέχουσαν αἰθάλην καθ' ἑκάστην ἐπαίρῃς · ἔτι λαβὼν ὄξος δριμὺ δι' ἑπτὰ ἡμερῶν τὴν αἰθάλην ἐπαίρῃς, οὕτως ποίει [80] ἄχρις ἂν ἡ αἰθάλη μὴ ἀναπέμπηται. Καὶ ἔασον ἡμέρας τεσσαράκοντα [81] ἐν ἡλίῳ καὶ δρόσῳ τῇ ἐμπροθέσμῳ, γλύκανον ὕδατι ὑετίῳ. [82] Καὶ ξηράνας ἐν ἡλίῳ ἔχε τὸ μυστή- (f. 95 v.) ριον ἀμετάδοτον, ὃ οὐδεὶς τῶν προφητῶν ἐτόλμησεν μυσταγωγῆσαι τῷ λόγῳ, ἀλλὰ μόνον τοῖς νοήμοσιν αὐτῶν ἐμυσταγώγουν. Τοῦτο γὰρ τὸ κεφάλαιον [83] ἐκάλεσαν ἐν ταῖς λοξαῖς γραφαῖς λίθον τὸν οὐ λίθον, τὸν ἄγνωστον καὶ πᾶσι γνωστὸν, τὸν ἄτιμον καὶ πολύτιμον, τὸν ἀδώρητον καὶ θεοδώρητον. Κἀγὼ δὲ αὐτὸν ἐγκωμιάσω τὸν ἀδώρητον καὶ θεοδώρητον, τὸν μόνον ἐν ταῖς ἡμῶν ἐργασίαις κρείττω τοῦ ὑλαίου. [84] Τοῦτο γάρ ἐστι τὸ φάρμακον τὸ τὴν δύναμιν ἔχον, τὸ μιθριακὸν μυστήριον.

2. Τὸ γὰρ πνεῦμα τοῦ πυρὸς ἑνοῦται τῷ λίθῳ, καὶ γίνεται πνεῦμα μονογενές. Τὰς δὲ ἐργασίας τοῦ λίθου ἑρμηνεύσω ὑμῖν. Κώμαρι συμμεμιγμένῳ μαργάρους ἀποτελεῖ · ἐπεί τοι γε αὐτὸν χρυσόλιθον ἐκάλεσαν · πάντα δὲ πνεῦμα σεύει τῇ δυνάμει τοῦ ξηρίου. Κἀγὼ κώμαριν [85] μέλλω ἑρμηνεύειν ὑμῖν, ὃ οὐδεὶς ἐτόλμησεν μυσταγωγῆσαι · ἀλλὰ καὶ αὐτοὶ τοῖς νοήμοσι παρέδωκαν. Ἀπέχεται τὴν θηλυκὴν δύναμιν προτιμωτέραν αὐτήν. Αὕτη γὰρ καὶ μόνη ἡ λεύκωσις σεβασμία γέγονε παντὸς προφήτου. Ἑρμηνεύσω ὑμῖν καὶ τοῦ μαργάρου τὴν δύναμιν. [86] Ἐργασίαν ἔχει τῷ ἐλαίῳ ἑψόμενον ὅ ἐστιν θηλυκὴ δύναμις. Λαβὼν μαργάρου τὸ ἀσιτικῶ ἕψη ἐλαίῳ οὐκ ὑποφίμῳ ἀλλ' ἀπώμῳ ἐπὶ ὥρας τρεῖς, [87] μέσοις φωσίν · καὶ λαβὼν ῥάκος

---

77. Titre dans A : Ὁ Ζώσ. ἔφη περὶ τῆς ἀσβ.

78. γινώσκεται] F. l. γινώσκετε.

79. αὐτῷ] αὐστιῶ (ρ au-dessus de ι) A.

80. οὕτως] τοῦτο A, f. mel.

81. αἱ αἰθάλαι μὴ ἀναπέμπονται (*sic*) A.

82. γλύκασον M.

83. νοήμοσιν] νεύμασιν mss. Corr. conj. Même variante et même correction, ci-après ligne 13. — αὐτῶν] αὐστιῶ (ρ au-dessus de ι) A. F. l. αὐτοί. — Τοῦτο — οὐ λίθον] Réd. de A : Τοῦτον δὲ ἐκάλ. λίθον οὐ λίθον.

84. τὸν μόνον — μυστήριον] Réd. de A : τὸν μόνον ἐν ταῖς ἡμετέραις ἐργ. κρύπτον, τοῦτο γάρ ἐστι τὸ μιθρ. μυστ. — Après ces mots, A se sépare de M jusqu'à la fin de notre § 2 et continue ainsi : Στέφανος δέ φησιν ·Λάβε ἐκ τῶν τεσσάρων στοιχείων ἀρσενικοῦ κ. τ. λ. jusqu'à μὴ ἀποκαλύψαι καὶ δημοσιεῦσαι (voir ci-après 4, 20).

85. σεύει] σέβη M. Corr. conj.

86. M mg : ὡς ἡμάρτηκε. (Main du 15e siècle, peut-être celle de Bessarion.)

87. ασιτικῶ (sans esprit) M. F. l. τοῦ ἀσιατικοῦ.

ἐρίου, ἔκθλιβε ἐν τῷ μαργάρῳ, ἵνα ἀποβάλῃ τὸ ἔλαιον, καὶ ἔχε εἰς τὰς χρείας τῶν καταβαφῶν · ἡ γὰρ τελείωσις τοῦ ὑλαίου διὰ τοῦ μαργάρου ἐστίν.

3. Ἄρσις δὲ ἑρμηνεύεται ὁ κουφισμός · ἀνθ' ὧν αἴρεται καὶ κουφίζεται [88] ἡ τοῦ ὕδατος ἐπίχυσις, ἐκ τῆς τοῦ σώματος συμπλοκῆς ἀνεμποδίστως τὸ μολύβδου πήσηται ὑπόμονος τούτῳ ποιῆσαι. [89] Ἀρκεστῶμεν τῇ θυείᾳ καὶ τῷ δοίδυκι ἐπὶ τῶν δύο βαφῶν · ἐπὶ δὲ τοῦ χαλκοῦ, ἐπεὶ περὶ τούτου Ζώσιμος καὶ ὑπὸ πλήθους ὑδάτων σηπόμενον διὰ τῆς τοῦ ἀέρος ὑγρότητος τε καὶ θερμότητος αὐξανόμενον ἄνθη φορεῖ κατὰ πολὺ γλυκύτητα, καὶ τῇ ποιότητι τῆς φύσεως καρποφορεῖ [90] :

✳
✳✳

1.1.3 3. — 3. ΑΓΑΘΟΔΑΙΜΟΝΟΣ.

Transcrit sur M, f. 95 v., *ainsi que l'article suivant.*

Μετὰ τὴν τοῦ χαλκοῦ ἐξίωσιν καὶ μέλανσιν καὶ ἐς ὕστερον [91] λεύκωσιν, τότε ἔσται βεβαία ξάνθωσις.

✳
✳✳

1.1.4 3. — 4. ΕΡΜΟΥ.

Ἐὰν μὴ τὰ σώματα ἀσωματώσῃς καὶ τὰ ἀσώματα σωματώσῃς, [92] οὐδὲν τὸ προσδοκώμενον ἔσται.

✳
✳✳

88. ἀνθῶν ms. Corr. conj.

89. ἐμποδίστως τὸ signe du soufre et πέσηται biffés dans le ms. ; ὑπόμονος τούτο ποιῆσαι seulement à sa marge, après plusieurs mots biffés.

90. φορᾶ A. — F. l. κατὰ πολλὴν γλυκύτητα.

91. Cette phrase est dans Stephanus, praxis 2, p. 204, éd. Ideler.

92. Cp. Olympiodore, § 40 ; ci-dessus, p. 93, l. 14.

1.1.5 3. — 5. ΖΩΣΙΜΟΥ ΠΡΑΞΙΣ Β.[93]

Transcrit sur A, f. 87 v. — *Collationné sur* K, f. 2 v. — *sur* Lc, p. 289.

1. Μόλις ποτὲ εἰς ἐπιθυμίαν ἐλθὼν τοῦ ἀναβῆναι τὰς ἑπτὰ κλίμακας καὶ θεάσασθαι τὰς ἑπτὰ κολάσεις, καὶ δὴ ὡς ἔχει ἐν μιᾷ τῶν ἡμερῶν, ἤνυσα τὴν ὁδὸν τοῦ ἀναβῆναι. Διελθὼν δὲ πολλάκις ἀνῆλθον[94] ἔπειτα εἰς τὴν ὁδόν. Καὶ δὴ ἐν τῷ ἐπανέρχεσθαί με ἀπέτυχον πάσης ὁδοῦ,[95] καὶ ἐν ἀθυμίᾳ πολλῇ γενόμενον, μὴ ἰδόντος μου πόθεν ἀπελθεῖν,[96] ἐτράπην εἰς ὕπνον. Καὶ θεωρῶ κατὰ τὸν ὕπνον μου ξυρουργόν τινα ἀνθρωπάριον ἠμφιεσμένον στολὴν ἐρυθρὰν, καὶ βασιλικὴν ἐσθῆτα, κα ἱστάμενον ἔξω τῶν κολάσεων, καὶ λέγει μοι · « Τί ποιεῖς, ἄνθρωπε ; » Ἐγὼ δὲ πρὸς αὐτὸν ἔφην · « Ἵσταμαι ὧδε ὅτι πάσης ὁδοῦ ἀστοχήσας[97] ὑπάρχω πλανώμενος. » Ὁ δὲ λέγει μοι · « Ἀκολούθει μοι. » Ἐγὼ δὲ[98] ἐξελθὼν ἠκολούθουν αὐτῷ · πλησίον δὲ γενομένων τῶν κολάσεων,[99] θεωρῶ τὸν ὁδηγοῦντα με, ἐκεῖνον ξυρουργὸν ἀνθρωπάριον · καὶ ἰδοὺ ἐνεβλήθη ἐν τῇ κολάσει, καὶ ὅλον αὐτοῦ τὸ σῶμα ἐδαπανήθη ὑπὸ τοῦ πυρός.[100]

2. Ἰδὼν ἐγὼ ἐξέστην καὶ ἐτρόμαξα ἀπὸ τοῦ φόβου, καὶ διυπνίσθην,[101] καὶ λέγω ἐν ἑαυτῷ · « Ἆρα τί ἐστι τὸ ὁρώμενον ; » καὶ πάλιν διεσάφησα[102] τὸν λόγον, καὶ διακρίνων ὅτι ὁ ξυρουργὸς ἐκεῖνος ἄνθρωπος[103] ὁ χαλκάνθρωπός ἐστιν, [ἔχων] ἐσθῆτα ἐρυθράν ἐνδεδυμένος, καὶ εἶπον[104] · « Καλῶς ἐπενόησα, οὗτος ἐστιν ὁ χαλκάνθρωπος · δεῖ δὲ πρῶτον ἐμβάλεῖν[105] αὐτὸν εἰς τὰς κολάσεις. » Πάλιν ἐπεθύμησεν ἡ ψυχή μου τοῦ[106] ἀναβῆναι καὶ τὴν τρίτην κλίμακα. Καὶ πάλιν μόνος τὴν ὁδὸν ἐπορευόμην, καὶ ὡς ἐγενόμην τῶν κολάσεων πλησίον, πάλιν ἐπλα- (f. 88 r.)[107] νήθην, μὴ εἰδὼς τὴν ὁδὸν, ἱστάμενος, ἀπονενοημένος.[108]

93. Titre dans Lc : Τοῦ αὐτοῦ Ζωσίμου πρᾶξις δευτέρα.

94. διελθὼν δὲ π. ἀν.] καὶ διελθὼν π. ἀνοδίᾳ. ἀνῆλθον Lc.

95. καὶ δὴ ἐν τῷ ἐπ.] καὶ δι ἐν A ; κ. διεν K ; ἐν δὲ τῷ ἐπ. Lc. Corr. conj.

96. γενόμενον] γέγονα Lc. — μὴ ἰδόντος μου — ἠμφιεσμένον (p. suiv., l. 2)] Réd. de Lc : μὴ εἰδὼς ποῦ ἀπελθεῖν δυνηθῶ, ἐν τούτοις δὲ ὢν, καὶ σφόδρα ἀθυμῶν ἐτράπην εἰς ὕπνον, καὶ ὅρω κατ' ὄναρ τι ἀνθρ. ξυρ. ἠμφ.

97. πρὸς αὐτὸν] αὐτῷ Lc.

98. ὁ δὲ] ἐκεῖνο δὲ Lc. — Ἐγὼ δὲ ἐξελθὼν] ὁ δὲ ἐξῆλθον AK. Réd. de Lc : ἐγὼ δὲ ἐξῆλθον καὶ ἠκολούθουν αὐτῷ.

99. γενόμενος Lc, f. mel. — θεωρῶ — ἀνθρωπάριον] Réd. de Lc : Ὅρω τὸ ὁδηγοῦν με ἐκενο τὸ ξ. ἀνθρ.

100. ἐν τῇ κολάσει] εἰς τὴν κόλασιν Lc. — ὑπὸ τοῦ πυρὸς ἐδαπ. Lc. — ἐδαπανίσθην A ; ἐδαπανήθην K.

101. Ἰδὼν] Τοῦτο ἰδὼν Lc, f. mel. — ἐτρόμαξα] F. l. ἐτρόμησα.

102. ἐμαυτῷ Lc.

103. διακρίνων] εὗρον Lc. — ξυρουργοῦντος AK. — Lc mg. : barre verticale se rapportant aux lignes 12 et 13. — ὁ ξυρ. — ἄνθρωπος] τὸ ξυρουργὸν ἐκεῖνο ἀνθρωπάριον Lc.

104. Après ἐστιν] ὁ ἐσθ. ἐρ. ἐνδ. Lc. — καὶ εἶπον ἐν ἐμαυτῷ Lc.

105. δεῖ δὲ] ἀλλὰ δεῖ Lc.

106. καὶ πάλιν Lc.

107. πλησίον τῶν κολ. Lc.

108. Après ὁδὸν] καὶ πάλιν ἐστάθην ἀπονενοημένος. Lc.

3. Καὶ πάλιν τῷ ὁμοίῳ τρόπῳ θεωρῶ πεπολιωμένον γηραιὸν λευκὸν πάνυ, ὥστε ἐκ τῆς πολλῆς λευκότητος αὐτοῦ οἱ ὀφθαλμοὶ [109] ἀπεμαυρώθησαν. Τὸ δὲ ὄνομα αὐτοῦ ἐκαλεῖτο Ἀγαθοδαίμων. Καὶ στραφεὶς ὁ πεπολιωμένος ἐκεῖνος θεωρεῖ με ἐπὶ πλείστην ὥραν. Ἐγὼ δὲ τοῦτον ἐπεμελούμην · « Δεῖξόν μοι εὐθεῖαν ὁδόν. » Ὁ δὲ πρὸς [110] μὲ οὐκ ἀνεστράφη, ἀλλ' ἤνυσεν τὴν ὁδὸν αὐτοῦ σπουδαίως · καὶ [111] διερχόμενος δὲ ἔνθεν κἀκεῖθεν ἤνυον σπουδαίως τὸν βωμόν. Ὡς οὖν [112] ἤνυσα ἄνω ἐπὶ τοῦ βωμοῦ, θεωρῶ τὸν πεπολιωμένον γηραιὸν, [113] καὶ ἐνεβλήθη ἐν τῇ κολάσει. Ὦ οὐρανίων φύσεων δημιουργοὶ, [114] εὐθὺς ὅλος ὑπὸ τῆς φλογὸς πυρίφλεκτος γέγονεν · ὃν καὶ τὸ διήγημα, [115] ἀδελφοὶ, φρικτόν · ἐκ γὰρ τῆς πολλῆς βίας τῆς κολάσεως οἱ ὀφθαλμοὶ αὐτοῦ πλήρεις αἵματος γεγόνασιν. Ἐπηρώτησα δὲ λέγων [116] αὐτὸν · « Τί ἐνταῦθα κατάκεισαι ; » Ὁ δὲ μόλις ἀνοίξας τὸ στόμα αὐτοῦ ἔφη μοι · « Ἐγώ εἰμι ὁ μολυβδάνθρωπος καὶ βίαν ὑπομένω ἀφόρητον. » Καὶ οὕτως ἐκ τοῦ πολλοῦ φόβου διυπνίσθην, καὶ ἐν ἐμοὶ τὴν αἰτίαν [117] ἠρεύνων τοῦ πράγματος. Καὶ πάλιν διέκρινα καθ' ἑαυτὸν καὶ εἶπον [118] · « Καλῶς ἐπενόησα ὅτι οὕτως δὴ ἐκβαλεῖν τὸν μόλυβδον, καὶ ἀληθῶς [119] τὸ ὅραμά ἐστιν περὶ τῆς συνθέσεως τῶν ὑγρῶν.

1.1.6 3. — 5 bis. ΠΟΙΗΜΑ ΤΟΥ ΑΥΤΟΥ ΖΩΣΙΜΟΥ. ΠΡΑΞΙΣ Γ. [120]

Καὶ πάλιν κατενόησα τὸν θεῖον καὶ ἱερὸν φιαλοβωμὸν, [121] καὶ εἶδόν τινα ἱεροπρεπῆ λευκοποδήρην ἐνδε- (f. 88 v.) δυμένον ἱερουργοῦντα τὰ φοβερὰ ἐκεῖνα μυστήρια, καὶ εἶπον · « Ἆρα τίς ἐστιν οὗτος [122] ; » καὶ ἀποκριθεὶς εἶπέ μοι · « Οὗτός ἐστιν ὁ ἱερεὺς τῶν ἀδύτων. Οὗτος βούλεται αἱματῶσαι τὰ σώματα, καὶ ὀμματῶσαι τὰ ὄμματα, καὶ τὰ νενεκρωμένα ἀναστῆσαι. Καὶ οὕτω πάλιν πεσὰν ἐκοιμήθην ἄλλον [123] ὀλίγον, καὶ αὐτὸ δὴ ἐν τῷ ἐπανέρχεσθαί με ἐπὶ τὴν τετάρτην κλιμακα, [124] εἶδον κατ' ἀνατολὰς ἐρχόμενον, κατέχοντα ἐν τῇ χειρὶ αὐτοῦ [125] μάχαιραν. Καὶ ἄλλος ὀπίσω αὐτοῦ φέρων περιηκονισμένον τινὰ λευκοφόρον [126] καὶ ὡραῖον τὴν

109. ὀφθαλμοὶ en signe AK.
110. ἐπεμελούμην] ἐπιμ. AK ; παρεκάλουν Lc, mel. — δεῖξαι Lc.
111. ἤνυσεν] ἤνεισεν A ; ἤνεισεν K — καὶ] ἐγὼ δὲ Lc. — αὐτοῦ] αὐτοῦ mss. ici et dans tout le morceau.
112. ἤνυον] ἠνείουν AK.
113. ἤνυσα] ἤν. καὶ ὑπῆρχον Lc ; ἤνεισα A ;— ἐκεῖνον γηραιὸν Lc. — καὶ] F. l. ὡς (ou ὃς ?).
114. ὦ φύσεις οὐρ. Lc. — εὐθὺς γὰρ Lc.
115. ὃν] οὗ Lc, f. mel.
116. αἱμάτων mss. Corr. conj. — ἐπηρώτησα δὲ λ. αὐτὸν] εἶτα ἐπηρ. αὐτὸν, λέγων Lc, f. mel.
117. φόβου] ὕπνου sous-pointillé. puis φόβου Lc. — ἐν ἐμοὶ] ἐν ἐμαυτῷ Lc.
118. κατ' ἐμαυτὸν Lc.
119. δὴ] δεῖ Lc, f mel.
120. Titre dans Lc : τοῦ αὐτοῦ Ζωσ. πρᾶξις τρίτη.
121. Καὶ πάλιν κατεν.] πάλιν δὲ κατανοήσας Lc. F. l. κατήνυσα, je gagnai.
122. τὰ φοβερὰ] τὰ ἱερὰ K et mg. : φοβερὰ ; τὰ ἱερὰ καὶ φοβ. Lc.
123. ἄλλο Lc.
124. καὶ αὐτὸ δὴ] καὶ ἐν τῷ ἐπ. Lc. F. l. καὶ οὕτω vel καὶ αὐτὸς.
125. κατ' ἀνατολὰς] ἐξ ἀνατολῶν Lc. — ἐρχόμενον ἄνθρωπον Lc.
126. ἄλλος ὀπίσω] ἄλλον ὄπισθεν Lc, f. mel. — φέρων] φέροντα Lc.

ὄψιν, οὗ τὸ ὄνομα [αὐτοῦ] ἐκαλεῖτο μεσουράνισμα [127] ἡλίου, καὶ ὡς πλησίον ἦλθον τῶν κολάσεων, λέγων ὅτι [128] μάχαιραν κρατῶν, « Περιέτεμε αὐτοῦ τὴν κεφαλὴν, καὶ τὰ κρέατα αὐτοῦ θήσων ἀνὰ μέρος, καὶ τὰς σάρκας αὐτοῦ ἀνὰ μέρος, ὅπως αἱ [129] σάρκες αὐτοῦ πρῶτον ἑψηθῶσιν ὀργανικῶς, καὶ τότε τῇ κολάσει παραπορευθῶσιν. [130] » Καὶ οὕτως πάλιν ἔξυπνος γενόμενος εἶπον · « Καλῶς ἐπενόησα καὶ ὅτι περὶ ταῦτά ἐστιν τὰ ὑγρὰ τῆς μεταλλικῆς. » Καὶ πάλιν [131] ὁ βαστάζων τὴν μάχαιραν ἔφη · « Πεπληρώκατε τὴν κάτω ἑπτὰ κλίμακας. [132] Ὁ δὲ ἕτερος ἔφη ἅμα τῷ ἐκβαλεῖν τοὺς κρουνοὺς δι' ὑγρῶν [133] πάντων · « Ἡ τέχνη πεπλήρωται. »

1.1.7 3. — 6. ΖΩΣΙΜΟΥ ΤΟΥ ΘΕΙΟΥ ΠΕΡΙ ΑΡΕΤΗΣ ΚΑΙ ΕΡΜΗΝΕΙΑΣ. [134]

Transcrit sur A, f. 168 v. — *Collationné sur* K, f. 47 v. ;— *sur une copie de Laur.*, f. 253 r. (*seulement depuis la ligne* 3 *du* § 4 *jusqu'à la ligne* 3 *du* § 17) ;— *sur* E, *première feuille de garde* ;— *sur* Lc, (copie de E ?) p. 301.

1. Προσπαθείας < ἕνεκα > καὶ μεθερμηνείας τοῦ ἐνυπνιάζεσθαι [135] αὐτόν φησιν. Καὶ ἰδοὺ βωμὸς φιαλοειδὴς καὶ πνεῦμα πύρινον ἑστὼς ἐπὶ τοῦ βωμοῦ, καὶ διηκόνουν τοὺς τοῦ πυρὸς βρασμοὺς καὶ καχλασμοὺς [καὶ] καυσώδεις τῶν ἀνθρώπων ἀνερχομένων, καὶ ἠρώτησα, φησὶν, καὶ εἶπον ἐπὶ τὸν ἑστῶτα λαόν. Θαυμάζομαι γὰρ τὸν τοῦ ὕδατος βρασμὸν καὶ καχλασμὸν, καὶ πῶς οἱ ἄνθρωποι καιόμενοι ζῶσι. Καὶ ἀποκριθεὶς λέγει μοι · « Οὗτος ὃν ὁρᾷς βρασμὸς τόπος ἐστὶν [136] ἀσκήσεως τῆς λεγομένης ταριχείας · οἱ γὰρ βουλόμενοι ἄνθρωποι ἀρετῆς [137] τυχεῖν ὧδε εἰσέρχονται καὶ ἀποβάλλονται [διὰ τὸ εἶναι] σώματα [138] πνεύματα γίνονται. Καὶ γὰρ πάλιν ἄσκησις ἔνθεν ἑρμηνεύεται ἐκ τοῦ [139] ἀσκῆσαι · οἷον γὰρ ἀποβαλλόμενα τὴν παχύτητα τοῦ σώματος πνεύματα γίνονται. »

---

127. αὐτοῦ om. Lc, mel.
128. ἡλίου] signe commun au soleil et au cinabre AK ; κινναβάρεως (en toutes lettres) Lc. — λέγων ὅτι ...] λέγει μοι ὁ τὴν μαχ. κρ. Lc. mel.
129. θήσων] θὲς Lc. F. l. θύσων. — ὅπως] ὅπου mss. Corr. conj.
130. ἑψηθήτωσαν Lc. — παραπορευθήτωσαν Lc.
131. ὅτι] ὁ AK (om. Lc). Corr. conj. — τῆς μετ. τέχνης Lc.
132. τὴν κατὼ ἑ. κλ.] F. l. τὴν < τέχνην > κατὰ ἑ. κλ. — ἑπτὰ κλίμακα A ; ἑπτὰ κλίματα K ; ἑπτακλήματα Lc. Corr. conj.
133. κρούνους] χρόνους A.
134. Titre dans E Lc : Ἀνεπιγράφου φιλοσόφου εἰς τὸ περὶ ἀρ. καὶ ἑρμ. τοῦ θείου Ζωσ. τοῦ Πανοπολίτου (ἢ Θηβαίου add. F).
135. Ajouté ἕνεκα d'après une conjecture confirmée par E Lc. — Rédaction de E Lc : Ὁ θεῖος Ζώσιμός φησιν ὅτι, ἕνεκα προσπαθείας καὶ μεθερμηνείας, τοῦτον τὸν τρόπον ἐνυπνιάσθη. Ἐδόκουν γὰρ, φησὶ, καὶ ἰδοὺ βωμὸς φιαλοειδὴς ὑπῆρχε, καὶ πνεῦμα πύρινον ἵστατο ἐπάνω τοῦ βωμοῦ, καὶ διηκόνει τοῖς τοῦ πυρὸς βρασμοῖς καὶ καχλασμοῖς (κ. καχλ. om. E), καὶ καύσεσι τῶν ἀνθρώπων ἀνερχομένων. Καὶ ἠρώτησα τούτων τινα τίς ἂν εἴη οὗτος ὁ βρασμὸς καὶ ὁ καχλασμὸς, καὶ (page 303) πῶς κ. τ. λ.
136. ὁ βρ. οὗτός ἐστι τόπος τῆς ἀσκ. ELc. (Cp. 3, 1, 3. p. 109. l. 11).
137. Οἱ γὰρ ἄνθρ. βουλ. ELc.
138. ἀποβάλλουσι ELc. — διὰ τὸ εἶναι om. ELc, mel. — τὰ σώματα, καὶ γὶν. πν. ELc.
139. Καὶ γὰρ — γίνονται (l. 10)]. Réd. de ELc : Διὸ καὶ οὗτος ὁ τόπος ἀσκ. ἑρμην. ὅτι τὰ σώμ. ἀποβάλλουσι τὴν παχ. ἑαυτῶν καὶ γίν. πν.

2. Καί τι τοιοῦτον Δημόκριτός φησιν · « Οἰκονόμει ἕως γένηται [140] ἰὸς ξανθὸς ὡς στίγμα χρυσοῦν διὰ τοῦ ἰοῦ τὸ πνεῦμα συμβαῖνον. [141] » Καὶ γὰρ ὁ ἰὸς διὰ τοῦ ἀσωμάτου κατὰ τὸν ὄφιν ἑρμηνεύεται πνεῦμα, [142] καὶ διὰ τὸ τέλειον τοῦ χρώματος ξανθὸν ὡς στίγμα χρυσοῦν προσαγορεύεται. [143] Καὶ οὕτω διὰ φωνῆς πρὸς φωνὴν συνάπτοντες τὴν ἔννοιαν, ὑπερφαίνουσιν ταύτην, ὅθεν καὶ δι' ὁμοειδοῦς πάλιν ἤξεώς φησιν [144] · « Οἰκονόμει δὲ ἕως οὗ ῥεῦσαι δυνηθῇ, ῥεύσεις δὲ διὰ ῥύτεως, ἀντὶ τοῦ [145] εἰπεῖν διὰ ῥεύσεως · τρέπουσι γὰρ τὸ Σ στοιχεῖον εἰς Τ · χρησάμενος [146] (f. 169 r.) τῇ λέξει, φησὶν ῥεύσης, ῥεύσης δὲ διὰ ῥεύσεως, ὃ ἑρμηνεύεται διὰ ῥεύσεως, ὡς εἴπομεν. Τούτῳ δὲ ὃ λέγει · « Οἰκονόμει δὲ [147] ἕως < οὗ > ῥεῦσαι δυνηθῇ. » Ὅμως οἷόν ἐστιν τὸ ὁμορρευστῆσαι προκείμενον. [148]

3. Καὶ νῦν δὲ πάλιν διὰ τοῦ λέγειν σιδηρίτην, ὃν καὶ σιδηρίτην καλοῦσιν οἱ κάτω ἐνσημαινόμενοι · διαγινώσκεται, ἀναφερόμενον ὡς ἔλεγεν · χαλκὸς μόλυβδος ἐτήσιος λίθος. Ὁ γὰρ πυρίτης διὰ περιουσίαν [149] χρώματος, ἤτοι τὸ περισσὸν ἐκκαιόμενον, ἤτοι πυρούμενον, [150] τὸν χαλκὸν ὑπαινίττεται · καὶ ὁμοίως τὸ ἀργυρίτης τὴν ἐξυδραργύρωσιν · ἐξυδραργυρούμενος γὰρ ὁ χαλκὸς ἀργυρίτης γίνεται, [151] κατ' ἐναντίαν τοῦ ἐτησίου, ἥτις ἐστὶν ὑδράργυρος, κατ' ἐτυμολογίαν τοῦ ὅλου, ἥτις ποιεῖ τὴν μέλλουσαν ἀναφαίνεσθαι χρύσοπτα προσυπακούειν, λέγων « σιδηρίτης » διὰ τὴν ἐκ μολύβδου σύγκρασιν. [152] Συγκρινόμεναι γὰρ αἱ οὐσίαι σιδηρίτην ποιοῦσιν.

4. Ὁμοίως τί τοῦ σιδήρου καρδίαν; ὅτε δὲ μάλιστα μάζα κλασθῇ [153] ὡς ἐκ τῆς ῥεύσεως ταύτης, ῥῆσιν ποιοῦντες πρὸς τὰς ἀναλογίας [ῥήσεις], εὑρίσκομεν σαφῆ τὴν θεωρίαν, ὡς κατὰ τὸ κρυπτὸν τοῦτο ὑπεμφαίνει. [154] Καὶ ἐν ἄλλοις ὁ Δημόκριτος λέγει · « Οἰκονόμει δὲ ἅλμη, ἢ ὀξάλμη, ἢ οὔρῳ ἅλμης, ἢ ἐπ' ἄμφω

---

140. καί τι] καί τοι (ι au-dessus de τοι) K. — Corr. de 1re main. — Réd. de ELc : Διὰ τοῦτο φ. ὁ Δημ.

141. ὁ ἰὸς ELc. — ὡς στίγμα] F. l. ὡς τῆγμα (ici et l. 14). — ὅτι διὰ τοῦ ἰοῦ τὸ πν. συμβαίνει ELc.

142. Lc, mg., p. 303 du ms. : renvoi à la fig. de la p. 221. (Ci-après, 3, 11. Cp. Introduction de M. Berthelot, p. 132, fig. 11, n° 1.) Réciproquement, p. 221 du ms. : renvoi à la p. 303.

143. χρώμ. προσαγ. ξ. ὡς στ. χρυσοῦ ELc.

144. ἤξεως] ἠξέσω K ; om. ELc. F. l. ἔξεως.

145. ῥεύσεις δὲ — ἐτήσιος λίθος (p. suiv., l. 3) om. ELc.

146. διαρεύσεως AK « Il y a ici un jeu de mots opposant ῥυτός, ῥύτις, ῥύτεως, à ῥεῦσις, ῥεύσεως. Voir le morceau 3, 7, 5. » (*M. B.*)

147. τούτῳ] F. l. τοῦτο.

148. ἕως < οὗ >] ὡς AK. — ὅμως] F. l. ὁμοίως.

149. Ὁ γὰρ. πυρ.] πυρίτης δὲ λέγεται ELc.

150. ἤτοι — τὴν ἐξυδραργύρωσιν] Réd. de ELc : ἤγουν διὰ τὸ περισσῶς, ἐκκαίεσθαι καὶ πυροῦσθαι τὸν χαλκὸν (« Nota bene hic » ajouté par E.) Ὁμοίως δὲ καὶ ὁ ὀργ. λέγεται διὰ τὴν ἐξυδραργύρωσιν. — τὸ] F. l. τὸν.

151. κατ' ἐναντίαν — λέγων (l. 9) om. ELc.

152. λέγων] F. l. λέγει. — σιδηρίτης jusqu'à ποιοῦσιν] Réd. de ELc : σιδερίτης δὲ λέγεται διὰ τὴν τοῦ σιδρου καὶ μολ. μέλανσιν · τοιοῦτος γὰρ γίνεται.

153. ELc omettent tout notre § 4. — ὅτε δὲ] F. l. ὅτε δή. — κλαστῇ AK.

154. Avec le mot εὑρίσκομεν commence la copie du ms. Laur. (fol. 253, r°), rapportée de Florence par M. André Berthelot, ms. dont nous donnons ici les principales variantes. — σαφῆ] leçon de Laur. ; σαφὴν AK.

· τὸν σύλλογον ἐπάγω, [155] φάσκει, ἢ ὡς ἐπινοεῖς ἐν τῇ γραφῇ, ἢ ὡς ἐπινοεῖται ἡ γραφὴ δυνάμενα [156] καὶ διασκευαζόμενα ἐξ ἑτέρων ὑγρῶν, ἐπείπερ οὐδὲν τούτων διαμένει, ἄλλ' ἀπόχυται πλύνον τὴν σύνθεσιν (f. 169 v.) κατ' αὐτοῦ. [157] »

5. Ἕνεκεν ἐκείνων ὁ ἀρχαιότατος Ὀστάνης ὡς ἐν τοῖς ἑαυτοῦ [158] καταπαραδείγμασιν · Ἕτερος περί τινος Σωφὰρ, κατὰ τὴν Περσίδα [159] προαναφανέντος ἱστορεῖ · λέγει οὗτος ὁ θεῖος Σωφάρ [160] · « Ἔστι μὲν οὖν ἐν κίονι ἀετὸς χαλκοῦς, κατερχόμενος ἐν πηγῇ καθαρᾷ [161] καὶ λουόμενος καθ' ἡμέραν, ἐντεῦθεν ἀνανεούμενος, ἐπείπερ φησίν [162] · ὁ ἀετὸς ἐτυμολογούμενος καθ' ἡμέραν λούεσθαι θέλει. » Ὡς οὖν καὶ δι' ἑτέρων τὸ αὐτὸ αἰνιττόμενος τὴν καθ' ἡμέραν ἀπόλουσιν καὶ ἀπόπλυσιν ἀποβάλλει · χρὴ γὰρ ἀκριβῶς ἐπὶ τὸν τῆς παρούσης [163] ἐργασίας ... · ἀμφιβαλλόμενος οὖν διὰ φιλοσοφίας, δι' ὅλων τῶν τριάκοσίων [164] ἑξήκοντα πέντε ἡμερῶν λούειν τὸν χάλκεον ἀετὸν καὶ ἀνανεοῦν, ὡς δεῖ καὶ ἑξῆς δι' ὅλης αὐτοῦ τῆς πραγματείας. [165] Οὗτος γὰρ ὁ Ὀστάνης φησίν · « Ἀπόθλιψον τὴν σταφυλὴν, ὑπογράφει, [166] ἤγουν ἡ τῆς ῥεύσεως πλύσις ἐστὶ τοῦ μυστηρίου τούτου · τὸν ἰὸν [167] δεῖ νοεῖν. » Καὶ νῦν ἐμφανέστατα ἐπάγει λέγων · « Ἄπελθε πρὸς τὰ ῥεύματα τοῦ Νείλου καὶ εὑρήσεις ἐνταῦθα λίθον ἔχοντα πνεῦμα. Τοῦτον λαβὼν διχοτόμησον, καὶ βάλλων τὴν χεῖρά σου εἰς τὰ [168] ἐντὸς αὐτοῦ, [καὶ] ἐξάγαγε τὴν καρδίαν αὐτοῦ · ἡ γὰρ ψυχὴ αὐτοῦ [169] ἐν τῇ καρδίᾳ αὐτοῦ ἐστιν. » Διὰ τὸ λέγειν · « Πορεύου εἰς τὰ ῥεύματα τοῦ Νείλου καὶ εὑρήσεις ἐκεῖ λίθον ἔχοντα πνεῦμα, » σαφῶς [170]

155. οὔρῳ ἅλμης] F. l. οὔρου ἅλμη.

156. φάσκειν Laur.

157. πλύνον] πλύνοντας A; πλυνομένουσα (*sic*) Laur.

158. ἕνεκεν — ἀετὸς χαλκοῦς (p. suiv., l. 2)] Réd. de ELc : Ὁ δὲ ἀρχ. Ὀστ. ἐν τοῖς αὐτοῦ συγγράμμασιν εἴρηκεν ὅτι ὑπῆρχεν ἐν Περσίᾳ τις μέγας φιλόσοφος καλύμενος Σοφὰρ, ὅστις ἔγραψεν ὅτι ἔστι τις ἀετὸς χ. — Fin de la collation de E, manuscrit de tout point semblable à Lc. — ὡς om. Laur.

159. καταπαραδείγμασιν] κατὰπαραδ. AK; παραδείγμασιν Laur. F. l. κάτω παραδ.

160. λέγει] λέγων Laur., f. mel. — λέγει οὗτος — ἀποβάλλει (l. 6)] Passage reproduit dans le morceau 3, 29, 19, avec quelques variantes : Φησὶν ὁ θεῖος Σοφαρ · εἶδον ἀετὸν χαλκὸν (χάλκινον Lb, p. 339) κατερχόμενον ἐν π. κ. καὶ λουόμενον καθ' ἡμ. καὶ ἐντ. ἀναπεμπόμενον (ἀναβεβώμενος A^2. f. 9 r.) τ' ὕπερ φύσει (ὑπὲρ φύσιν Lb; lire comme ici ἐπείπερ φησὶν) ὁ γὰρ ἀετὸς ἐτυμ. καθ' ἡμ. λ. θ. ὡς καὶ δὴ ἕως (δι' ἑαυτοῦ Lb) καὶ δι' ἕτ. κ. τ. λ. — Les variantes de A^2 (f. 9 r.) sont pour la plupart conformes au texte que nous adoptons.

161. κατερχύμενος — δι' ὅλων (l. 7)] Réd. de Lc : Ὃς κατέρχεται εἰς τὸν κιόνα. Puis : Δεῖ οὖν δι' ὅλων κ. τ. λ. — ἐν κιόνι — χαλκοῦς] Réd. de Laur. : ἐν κιονίῳ καὶ φησὶν ὅτι ἰδοὺ ἀετὸν χαλκοῦν.

162. ἐντεῦθεν] ἐνταύθου Laur. F. l. ἐνταῦθα — ἀνανευόμενος AK; ἀνανεβώμενος Laur. (comme A^2 dans 3, 29, 19. Corr. conj.)

163. F. l. χρὴ γὰρ ἀκριβῶς εἰπεῖν ἐπὶ τῆς π. ἐ.

164. ἐργασίας ἀφικόμενος οὖν Laur; ἀφηλώμενος (μα pour βα au-dessus de φη) A; ἀφιβαλλόμενος K. Corr. conj.

165. ἀνανεοῦν] ἀνανεὸν A; ἀνανεῶν K Laur. — καὶ ἕξεις αὐτὸν δι' ἕλ. Lc, mel. — οὗτος γὰρ ὁ Ὀστ. φησίν] καὶ πάλιν ὁ Ὀστ. φ. Lc.

166. ὑπογράφει om. Lc, f. mel.

167. ἤγουν — ἄπελθε] Réd. de Lc : ἤγουν πλύνε τὸν ἰὸν πολλάκις διὰ τῆς ῥεύσεως, καὶ τοῦτό ἐστι τὸ μυστήριον · καὶ πάλιν ὁ αὐτὸς Ὀστ. φησίν · ἄπελθε ...

168. βαλὼν Lc.

169. καὶ om. Lc. mel. — Après καρδίαν] αὐτοῦ om. Laur.

170. ἐκεῖ λίθον om. AK. — δείκνυσι σαφῶς Lc.

δείκνυσι τὸν τοῖς ῥεύμασι πλυνόμενον κατὰ τὴν ταριχείαν τοῦ ἡμετέρου [171] λίθου, ἀνθ’ ὧν καὶ πᾶς ὁ χαλκὸς λίθος ἐστὶ κατὰ τὴν σὴν μετάλλων [172] γένησιν, καὶ πᾶς ὁ μολυβδόλιθος. Τοῦτον οὖν τὸν λίθον εὑρήσεις, φησὶν, [173] (f. 170 r.) ἔχοντα πνεῦμα, ὅς ἐστι < τρόπος > τῆς ἐξυδραργυρώσεως. [174]

6. Ἐπειδὴ καὶ ὁ Δημόκριτος ἐκεῖνος ὁ ἐμοὶ ἀγαθώτατος ἐδιακρίθη [175] καθ’ ἑαυτοῦ φησιν · « Δέξαι λίθον τὸν οὐ λίθον, τὸν ἄτιμον [176] καὶ πολύτιμον, τὸν πολύμορφον καὶ ἄμορφον, τὸν ἄγνωστον καὶ πᾶσι [177] γνωστὸν, τὸν πολυώνυμον, καὶ ἀνώνυμον, τὸν ἀφροσέληνον λέγω. [178] Οὗτος γὰρ ὁ λίθος [ὥστε γὰρ] οὐκ ἔστι λίθος, καὶ πολύτιμος ὢν, [179] οὐδενὸς πιπράσκεται, μίαν ἔχει φύσιν καὶ ἓν ὄνομα, καὶ ἐν πολλοῖς [180] ὀνόμασι κέκληται, οὐχ ἁπλῶς λέγω, ἀλλ’ ὡς ἔχει φύσεως, ὥστε ἐάν [181] τις εἴποι πυρίφευκτον, καὶ αἰθάλην λευκὴν < ἢ > λευκὸν χαλκὸν, [182] οὐ ψεύδεται. Πάντα ἐπὶ νεφέλην λέγει, ἐπειδὴ παρὰ πάντα τὰ ἄλλα [183] φεύγει τὸ πῦρ, καὶ ἡ αἰθάλη ἐστὶν τῆς κινναβάρεως, καὶ αὕτη μόνη λευκαίνει τὸν χαλκόν. Καῦσον οὖν αὐτὸν πραέως καὶ σβέσον ἐν [184] γάλακτι ὀνείῳ ἢ αἰγείῳ. Ἀποδίδου τοίνυν καὶ ἐπισυγγενάμενος ὅτι [185] παρὰ πάντα τὰ ἄλλα φεύγει τὸ πῦρ, καὶ ἡ αἰθάλη ἐστὶ τῆς κινναβάρεως, καὶ αὕτη μόνη λευκαίνει τὸν χαλκόν.

7. Καὶ πῶς οἱ φιλόσοφοι σαφῶς παραδίδουσιν τὴν ἔννοιαν, ὅτι τὸν [186] ἐξυδραργυρωθέντα πυρίτην λίθον καλεῖ ; Οὗτος οὖν ὁ ἀγαθώτατος φιλόσοφος [187] · « Τίς οὐκ οἶδεν ὅτι ἡ αἰθάλη τῆς κινναβάρεως, [ἤγουν] ὑδράργυρός [188] ἐστιν, δι’ ἧς καὶ συντίθεται ; Διὸ καὶ εἴ τις ἐλλείωσας αὐτὴν [189] τὴν κιννάβαριν νιτρελαίῳ,

171. τὸν] τῶν AK Laur. — τοῦ om. Lc, qui lit : ἡμέτερον λίθον comme Laur. (f. mel.).

172. χαλκὸς λίθος] F. l. χαλκόλιθος (*M. B.*). — σὴν om. Lc. f. mel.

173. μόλυβδος λίθος Laur ; μολυβδόχαλκος Lc.

174. πνεύματα Laur. — ὅς] ὡς A ; ὅ Laur., f. mel.

175. ἐπειδὴ καὶ ὁ Δημ. — γάλακτι ὀνείῳ ἢ αἰγείῳ (l. 15)]. Passage reproduit dans le texte 3, 29, 21, d’après le ms. A, f. 139 r. (texte que nous désignons par un astérisque) avec quelques variantes rapportées ici. Ἐπειδὴ ὁ Δημ. ἐκ. ὁ ἐ. ἀγαθῶς λέγει · Δέξαι λίθον τὸν οὐ λ ... τὸν ὁμώνυμον (comme les mss. de Zosime), τ. ἀ. λέγω (λέγει Lb, p. 339, A^3) ... ὡς γὰρ ἐκ πᾶν (f. l. ἐπὰν ?) ... πάντα ἐ. ν. λέγω κ. τ. λ. Dans le texte 3. 29, les bonnes variantes de A^2, de A^3 et de Lb sont généralement conformes au texte de Zosime. — ἐπειδὴ καὶ ὁ Δημ. — λίθον] Réd. de Laur. : ἐπεὶ δὲ καὶ ὁ Δημ. ἐκεῖνος δὲ μοι ἀγαθότητος καὶ φησὶν δέξε λίθον. — Réd. de Lc : Καὶ ὁ Δημ. δέ φησι · Δέξαι λίθον. — ἐδιακρίθην AK Laur.

176. F. l. καθ’ ἑαυτὸν. — Δέξαι λίθον] Cp. Stephanus, éd. Ideler, p. 217, l. 20-23.

177. Après πολύτιμον] καὶ τὰ ἑξῆς Lc, qui om. τὸν πολύμορφον jusqu’à αἰγείῳ (l. 15). — πᾶσιν γνωστὸν Laur.

178. ἀνώνυμον] ὁμώνυμον mss. Corr. conj.

179. ὥστε γὰρ] γὰρ om. Laur. — πολυτίμιτος (pour πολυτίμητος) Laur.

180. ἐπιπράσκεται AK Laur. F. l. ἐμπιπράσκεται. — ἔχων ⋆ dans Lb (p. 339).

181. ἐὰν γάρ τις εἴπῃ ⋆ Lb. — ὡς γὰρ AK Laur.

182. καὶ om ⋆ (dans Lb). ἢ restitué ici d’après ⋆.

183. λέγει] λέγων Laur ; λέγω ⋆ dans Lb.

184. καῦσον — τὸν χαλκόν (l. 17) om. Laur ; hab. K. — πραέως om. ⋆ (Lb).

185. ἀποδίδου — ἡ αἰθάλη] Réd. de Lc : ἀποδίδωσι δὲ μετὰ ταῦτα ὁ φιλόσοφος ὅτι ἡ αἰθ.

186. καὶ πῶς — οὐκ οἶδεν (l. 3)] om. Lc. — παραδίδωσι AK Laur.

187. ἀγαθότητος AK Laur. ici et partout. Corr. conj.

188. ἡ αἰθάλη — κατὰ φύσιν (p. suiv., l. 7)]. Barre verticale en marge de Lc. — κινναβ. ἐστὶν ἡ ὑδράργ. Lc. — ἤγουν om. Laur, f. mel. — ὁ ὑδράργ. αὐτός ἐστιν Laur.

189. ἐλειώσας AK Laur ; ἐλείωσεν Lc, f. mel.

ἀναφυράσας καὶ περικλείσας ἐν ἄγγε- (f. 170 v.) σιν διπλοῖς, ὑποκαύσας φωσὶν ἀλήκτοις πᾶσαν αἰθάλην λήψεται, [190] ἐγκεκαυμένην εἰς τὰ σώματα. Οὐκοῦν ὁ λίθος ὢν δι’ οὗ ἔχει [191] σύμπηξιν ἐν τῷ σώματι τῆς μαγνησίας, οὐκ ἔστι λίθος · διὸ ἔχει φύσεις τῆς ῥεύσεως. Ἆρα οὐκ ἀκούεις αὐτοῦ τοῦ Δημοκρίτου τί ἀνώτερον λέγει ; « Λαβὼν ὑδράργυρον, πῆξον τὸ σῶμα τῆς μαγνησίας [ἥτις] τῷ μεμιγμένῳ, κατὰ μίαν τοῦ σώματος οὐσίαν, ἐν τῷ μολυβδοχάλκῳ. » Ἆρα οὐχὶ τοῦτό ἐστι τὸ ἀφροσέληνον ; πάντες γὰρ ἴσασιν ὅτι κατ’ ἀναφορὰν τὴν Ἀφροδίτην καὶ σελήνην ἐκ τῶν δύο ὀνομάτων [192] σύνθετον ὄνομα ἡμῖν μεθερμηνευόμενον ἀφροσέληνον · πάντες γὰρ ἴσασιν ὅτι κατ’ ἀναφορὰν τῆς Ἀφροδίτης ἀστρολόγον τὸν χαλκὸν [193] ἀνατίθεται. Οἱ μὲν ταχύτερον τὴν ὑδράργυρον λέγουσιν, εἰ δὲ πνευματικώτερον [194] τὴν ὑδράργυρον, ἐπείπερ ἐν σελήνῃ ἐνρωηκὰ ἀπορία [195] ἐστὶν τοῦ φωτὸς, καὶ αὕτη ἡ ῥεῦσίς ἐστιν τῆς οἰκείας φύσεως ἐνδικαίως [196] τῶν ἄλλων πάντων τῶν ἄστρων · ὁ Ζεὺς μόνος προσηγορεύεται πρῶτον ἤλεκτρον, κατ’ ἀναφορὰν < ἣν > ἔχει ἐκ τριῶν τὸ ἐλάχιστον [197] παντὸς ἠλέκτρου συντιθεμένου.

8. Οὐκοῦν διὰ τὴν ἁπλῆν τῆς προσηγορίας < ὁ > μὲν ἄργυρος [198] κατ’ ἀναφορὰν τῆς σελήνης, ὡς ἐντεῦθεν ὁ ἀγαθώτατος φιλόσοφος, οἰκείοις τοῖς ὀνόμασι κεχρημένος, ἐν τοῖς τῶν δύο πρὸς ἀργυρίων ὡς ἔφρασεν, [199] τὸ ἀφροσέληνον ἐκάλεσεν. Καὶ ἐπείπερ τὸ (f. 171 r.) φῶς ἀντὶ τῆς σελήνης [200] πνευματικῶς ὁρᾶται (κατὰ γὰρ τὸ σῶμα γίνεται καὶ ἀπογίνεται), οὕτω καὶ αὕτη κατὰ τὸ σῶμα τῆς μαγνησίας γίνεται καὶ ἀπογίνεται [201] · καὶ πνεῦμά ἐστιν κατὰ φύσιν. Ἀνθ’ ὧν καὶ πάλιν ὡς διαιρουμένης [202] ἐρωτῶμεν ἐν τῇ κατ’ ἐνέργειαν περὶ ἀρετῆς πραγματείᾳ διὰ Ζώσιμον, [203] ὡς δι’ αὐτοῦ ἐρωτῶντες · « Καὶ σὺ ἄρα πνεῦμα εἶ ; » Ὁ δὲ ἀποκρίνεται [204] καὶ φησί · « Καὶ πνεῦμά εἰμι, καὶ φύλαξ πνευμάτων, πνεῦμα οὖσα κατὰ [205] πνευματικὴν [τοῦ

---

190. καὶ ὑποκαύσας Lc. — αἰθ. λήψεται] τὴν αἰθ. ἔλαβεν Lc.

191. Après σώματα] Lc. continue ainsi : Ἀφροσέληνον δὲ λέγεται ὅτι ὁ λίθος γίνεται ἐκ τῆς Ἀφροδίτης ἥ ἐστιν ὑδράργυρος, καὶ ἐκ τῆς σελήνης ἥ ἐστιν ἄργυρος · ὥσπερ γὰρ τὸ φῶς τῆς σελήνης κ. τ. λ. (p. suiv. l. 4).

192. F. l. τῆς Ἀφροδίτης καὶ σελήνης.

193. ἀστρολόγων Laur. — F. l. τῇ Ἀφροδίτῃ < οἱ > ἀστρολόγοι τὸν χ. ἀνατίθενται.

194. F. l. παχύτερον Cp. la fin du § 1. (C. *E. R.*) εἰ δὲ] F. l. οἱ δὲ (*M. B.*). — τὸν ὑδράργ. Laur. ici et partout.

195. ἐνροϊκα K. — ἀπορία AK Laur., ici et partout. F. l. ἐνροὴ καὶ ἀπύρροια. On connaît ἐνρέω et ῥοή (C. *E. R.*) ἀπορία, c’est le déclin de la lune exprimé comme le mercure par le croissant retourné. (*M. B.*). Cp. p. 125, note sur la ligne 10, réd. de Lc (C. *E. R.*).

196. ἐνδικαίως] εἴδη καὶ ὡς Laur.

197. πρῶτον μὲν Laur. — κατ’ ἀναφ. — ἠλέκτρου om. Laur.

198. ἁπλὴν mss. F. l. ἁπλόην.

199. κεχρημένοις AK Laur. Corr. conj. — ἐν τοῖς] ἐκ τοῖς AK Laur. F. l. ἐκ τῆς τ. δ. προσαργ. < μίξεως >?;— ὡς ἔφρασεν] κατὰ μίαν ἀναφορὰν ἔφρ. Laur.

200. Καὶ ἐπεί περ] ὥσπερ γὰρ Lc. — ἀντὶ om. Lc. f. mel.

201. αὕτη] αὐτοῖς Laur. — τὸ σῶμα αὐτῆς Lc. — οὕτω — κατὰ τὸ σῶμα] Réd. de Lc : οὕτω καὶ τὸ ζητούμενον ἡμῶν πνεῦμα κατὰ τ. σ.

202. Après κατὰ φύσιν] Réd. de Lc : Διὸ καὶ ὁ Ζώσιμος ἠρώτησε τὸν ἑστῶτα ἐν τῷ φιαλοβωμῷ, οὕτω λέγων · καὶ σὺ (l. 9).

203. πράγματι A Laur. ; πράγμασι K. Corr. conj.

204. F. l. ὡς δὴ αὐτοῦ ἐρωτῶντος. — καὶ σὺ] καὶ λέγ. καὶ σὺ Laur. — ἀπεκρίνατο Lc. — καὶ φησὶ om. Lc.

205. πνεῦμα οὖσα — ἀναλαμβάνει] Réd. de Lc : τὸ πν. γὰρ τὸ ὂν κατὰ τὴν πν. τοῦ ἀργύρου

ἐρωτῶντος] ἐν τῇ σελήνῃ οὐσίαν, ἀναλαμβάνει τὸ σῶμα τῶν συγκραθέντων στερεῶν, καὶ ποιεῖ αὐτῷ πνεῦμα λογχευόμενον,[206] ὡς ἐν βάθει ἑαυτῆς, ὃ ἔχει ψυχὴν ἐκ τῆς καρδίας καὶ εἰς ὄρυγμα[207] ἐν στομάχῳ, κατὰ τὸ ὑέλιον τοῦ κινοῦντος τὴν δύναμιν ἑλκυούσασα[208] πρὸς ἑαυτὴν πρὸς ἀλειωτικὴν, ἐξαλλοιοῦσα τοῦτο εἰς αἷμα κατάγει τὸν χυμὸν,[209] καὶ κατὰ τὴν θελκτικὴν καὶ ἀποκριτικὴν, τὰ ἄλλα φυσικῶς[210] κατεργαζομένη. Ἦ γὰρ οὐδὲ τοῦτο ἤκουσας, ὥς φησιν, τὴν πολυθρύλλητον[211] φωνὴν ἀνακράζοντες. « Περιμάχου χαλκὸν, μάχου ὑδράργυρον,[212] καὶ ἀσωμάτωσον τελείως εἰς φθορὰν τὴν τέχνην, καὶ ὡς οὐδὲν ἐπὶ[213] τούτου κέχρηται, πλὴν τῆς ὑδραργύρου καὶ τῆς μαγνησίας, καὶ εἰσὶν ἄμφω διὰ τὴν σύμπηξιν. « Λαβὼν, φησὶ, τὴν ὑδράργυρον < καὶ > τὸ[214] τῆς μαγνησίας σῶμα, καὶ πνεῦμα ἔχει διὰ τὴν ἐξυδραργύρωσιν[215] · » καὶ « εὑρίσκεται, φησὶν, πρὸς τοῦ Νείλου τὰ ῥεύματα, ἀνθ' ὧν καὶ διὰ ῥεύσεως ὁμορρευστῆσαι, ὡς προγέγραπται · » καὶ, ὥς φησιν, « Οὐδὲν ὑπολέλειπται,[216] οὐδὲν ὑστερεῖ (f. 171 v.), πλὴν τῆς νεφέλης · ἤτοι[217] < διὰ > τοῦ διορατικοῦ καὶ τοῦ διανοητικοῦ δυνάμενος διορᾶν καὶ διανοεῖσθαι πρὸς τὰ προσφωνούμενα.

9. Τί γὰρ ὁ Ἑρμῆς καὶ αὖθις προστάττων διαλέγεται τὸ ἀπὸ[218] τῆς σεληνιακῆς ἀπορίας ἐκπίπτον, ποῦ εὑρίσκεται, καὶ ποῦ οἰκονομεῖται,[219] καὶ πῶς ἄκαυστον ἔχει τὴν φύσιν, παρ' ἐμοὶ εὑρήσεις καὶ Ἀγαθοδαίμονος · διὰ γὰρ τοῦ λέγειν ἀπορίας πάλιν τῆς ῥεύσης[220] ἀνάπτησον, καὶ καταδηλότερον γίνεται διὰ τὸ ἐπαγαγεῖν τὸ

οὐσίαν ἀναλ.

206. αὐτὸ Lc, f. mel. — λοχευόμενον Lc, f. mel.

207. ἑαυτοῦ, καὶ ἔχει Lc. — εἰς om. Lc.

208. κατὰ τὸ ὑέλιον] Il y a eu probablement dans un ms. oncial ΚΑΤΑΤΟΥΗΛΙΟΥ (κατὰ τοῦ ἡλίου). Réd. de Lc : κατὰ τὸν ἥλιον τὸν κινοῦντα τ. δ. ἕλκει πρὸς ἑαυτὸ ἀλλοιωτικὴν δύναμιν καὶ αὕτη εἰς αἷμα κ. τ. λ.

209. F. l. προσαλλοιωτικὴν. — ἐξαλλείουσα τούτω AK Laur. Corr. conj.

210. καὶ κατὰ τὴν θελκτικὴν (θελητικὴν A ; θερητικὴν Laur.) jusqu'à κατεργαζομένη] Réd. de Lc : καὶ ἔστι θελκτικὴ καὶ ἀποκριτικὴ ἅπαντα φυσ. κατεργ.

211. κατεργαζομένην AK Laur. — ἢ γὰρ — ἀνακράζοντες] Réd. de Lc : Διὸ φησὶν ὁ φιλόσοφος · περιμ. χ., περιμάχου ὑδρ ... (Cp. Stephanus, leçon 4, p. 217 éd. Ideler).

212. F. l. ἀνακράζοντος. — F. l. πυρὶ μάχου.

213. τῇ τέχνῃ Lc, qui continue ainsi : καὶ γὰρ τὸ τῆς μαγνησίας σῶμα (ci-après, l. 4). — οὐδὲν] F. l. οὐδενὶ.

214. A mg. σῆ.

215. καὶ εὑρίσκεται — προγέγραπται om. Lc.

216. ὡς προγεγρ.] ὡς om. Laur., f. mel. — ὥς φησιν om. Laur. — καὶ πάλιν φησὶν Lc.

217. Après νεφέλης] Réd. de Lc : καὶ τοῦ ὕδατος ἡ ἄρσις, ἤγουν πλὴν τοῦ διορατικοῦ καὶ διανοητικοῦ · διορῶμεν γὰρ τὸ σῶμα τῆς μαγνησίας, διανοοῦμεν δὲ τὴν δύναμιν αὐτῆς ὡς πρὸς τὰ προσφωνούμενα.

218. Le rédige ainsi le début de notre § 9 : Ὁ δὲ Ἑρμῆς φησι, τὸ ἀπὸ τῆς σελ. ἀπορροίας ἐκπίπτον, ἤγουν ὥσπερ τὸ τῆς σελήνης φῶς αὐξαίνει καὶ μειοῦται, οὕτω καὶ ὁ ἡμέτερος ἄργυρος μειοῦται μὲν διὰ τῆς ἀσωματώσεως, ἀντιστρόφως τῆς σελήνης. Ἡ δὲ ἀπόρροια καὶ ἡ εἴσροια διὰ μακρᾶς καὶ μετρίας ἐκπυρώσεως ὀφείλει (sur δεῖ, gratté) γίνεσθαι, ἵνα (page 319) φυλαχθῇ τὸ πνεῦμα κ. τ. λ. — Τί γὰρ ὁ Ἑρμῆς Laur. — τὸ ἀπὸ σελ. — τὴν φύσιν] Cette phrase se retrouve dans Stephanus, p. 203.

219. ἀπορίας] ἀπορροίας Ideler.

220. F. l. Ἀγαθοδαίμονι. — F. l. ῥευστῆς.

ἀπὸ τῆς [221] σεληνιακῆς ἀπορίας ἐκπίπτη κατὰ τὴν τῆς σελήνης οὐσίαν. Κατεχόμενον [222] γὰρ τὸ σῶμα ἐκπίπτη διὰ τῆς ἀπορίας, καὶ γὰρ σεληνιάζεται [223] ἡ φύσις τῆς μαγνησίας σεληνοειδὴς ὅλη γινομένη, καὶ κατὰ καιρὸν τῆς ἀπορίας ἐκφυσᾶται · ὡς ἰὸν ἐκπίπτει τῆς ἀπορίας καὶ ἐκστροφὴν [224] ὑπομένοντος ὢν (?) τοῦ σώματος. Καὶ νῦν ἀνάστρεψον πρὸς τὰς ἀπορίας καὶ διορατικὸν καὶ διαβλητικὸν δι' ἀπορίας ῥεύματος καὶ ῥεύσεως [225] κατὰ τὴν κριτικὴν τῆς ῥεύσεως φύσιν λαμβάνει τὴν κατεργασθεῖσαν [226] διὰ τῆς φιλοσοφίας μαγνησίαν καίουν ἢ διὰ πυρὸς ἢ διὰ τῆς [227] ἑαυτοῦ ἐκπυρώσεως, ἀλλὰ διὰ τῆς ἀπορίας, ἵνα φυλαχθῇ τὸ πνεῦμα, καὶ μὴ ἐκπνεύσῃ τῇ βίᾳ τῆς ἐκπυρώσεως.

10. Οὕτω νόησον, ὥς φησιν Ὀστάνης, βάλλων τὴν χεῖρά σου [228] εἰς τὰ ἐντὸς τοῦ λίθου, καὶ ἔκβαλε τὴν καρδίαν αὐτοῦ, ὅτι ἡ ψυχὴ αὐτοῦ ἐν τῇ καρδίᾳ ἐστίν. Οὐκοῦν διὰ τῆς τοιαύτης ἀπορίας, πάντα [229] τὰ ἐντὸς ἀποβάλλει (f. 172, r.) ὁ τοιοῦτος λίθος καὶ ἐξερεύγεται [230] τὰ βάθη τῆς καρδίας, καθὼς ἔστι τὸ πνεῦμα, ὅς ἐστιν ὁ ἰὸς ξανθὸς ὡς στίγμα χρυσοῦν δογματιζόμενον · περὶ τούτων γὰρ συναπτόμενα [231] < ἃ > πάλιν Δημόκριτός φησιν, « πυρίτην οἰκονόμει ἕως ξανθὸς γένηται ὡς στίγμα χρυσοῦν, καὶ δοκίμαζε εἰ γέγονεν ἄσκιον. [232] Ἐὰν μὴ γέγονεν ἄσκιον, τὸν χαλκὸν μὴ μέμψαι, ἀλλὰ σαυτὸν μέμψαι, [233] ἐπεὶ μὴ καλῶς ᾠκονόμησας. Οἰκονόμει οὖν ἕως ξανθὸς ἄσκιος ὁ [234] χαλκὸς γενόμενος πᾶν σῶμα βάπτῃ, χρυσὸς γίνεται ὡς στίγμα χρυσοῦν. » Καὶ χρὴ ἐντεῦθεν ἐπιθεωρεῖν καὶ διασκοπεῖν εἰ γέγονεν ἄσκιον [235] ξανθὸν ὡς στίγμα χρυσοῦν · εἰ γὰρ μὴ γέγονεν ἄσκιον, [236] οὔτε βάπτειν ξανθὸν ὡς στίγμα χρυσοῦν δύναται. Ἐὰν γὰρ μὴ ἔστι [237] χρυσοῦν κατὰ ποιότητα · ἐπειδὴ ποιαὶ αἱ ποιότητες ποιοῦσιν ξανθόν [238] · καὶ γὰρ ποιότης ἀπὸ τοῦ ποιεῖν ἐτυμολογεῖται [ποιεῖν.] Ποιεῖ [239] βάψιν κατὰ ποιότητα χρυσῆν · φανερὸν γὰρ ὅτι < αἱ > τῶν ποιοτήτων ἐνέργειαι ὡς ἀσώματοί εἰσιν · ὅθεν καὶ ἡ κατενέργεια

221. F. l. ἀνάπτυσον.
222. F. l. ἐκπίπτει, ici et plus loin.
223. καὶ γὰρ — τῆς μαγνησίας om. Lc.
224. ἰὸν] οἴων Laur.
225. διορατικῆς Laur. — διαβλυτικὸν διαπορίας mss Corr. conj.
226. F. l. λάμβανε.
227. F. l. καὶ οὐκ (?). — ἢ διὰ τὰς mss.
228. Réd. de Lc : Οὕτω δέ φησι καὶ ὁ καίων. Ὀστ., βάλε.
229. ἀπορροίας Lc, f. mel.
230. ὁ τοιοῦτος ὁ λίθος] ὅτι οὗτος ὁ λ. Laur., f. mel.
231. ὡς στίγμα χρυσοῦν] F. l. ὡς τῆγμα χρυσοῦν *vel* χρυσοῦ (ici et plus loin). Cp. p. 119, l. 12. — δογματιζόμενος Lc, f. mel., puis : Διὸ καὶ ὁ Δημ. — τούτων] τοῦτον AK.
232. ἐὰν δὲ μὴ Lc. — ἄσκιος Laur. Lc, ici et lig. suiv.
233. σεαυτὸν Lc. — μέμψαι om. Laur. ; ajouté sur la ligne dans A.
234. ἕως ἂν ξ. καὶ ἄσκ. γένηται Lc, puis : τότε γὰρ πᾶν σ. βάπτει εἰς χρυσὸν καὶ γίνεται ...
235. ἄσκιος καὶ ξανθὸς Lc.
236. χρυσοῦ Lc, f. mel. — γὰρ] δὲ Laur. Lc. — οὔτε] f. l. οὐδὲ.
237. βάπτει AK Laur.
238. ποιαὶ] ποίηαι A ; ποίειαι K. Réd. de Laur. : κατὰ πιότιταν. ἔπιδεί περ ποῖαι αἱ πιότιτες. Après ποιότητα] Réd. de Lc. : Πῶς δύναται βάψαι εἰς χρυσόν ; πᾶσαι γὰρ αἱ ἐνέργειαί εἰσιν ἀσώματοι ποιότητες · ὅθεν καὶ ... (l. 22).
239. ποιῇ K.

χρυσοῦν · ἐπεὶ[240] μὴ [κατὰ] ποιότητα λευκὴν κατ' οὐσίαν ἔχει τὸ χρῶμα οὔτε ποιεῖν[241] δύναται, οὔτε βάπτειν χρυσόν. Ὁ δὲ ἡμέτερος χρυσὸς, ἐπεὶ κατὰ[242] ποιότητά ἐστιν, ποιεῖν καὶ βάπτειν δύναται, ὃ καὶ μυστήριον τοῦτο[243] μέγα ἐστὶν, ὅτι ποιότης γίνεται χρυσὸς, καὶ τότε ποιεῖ τὸν χρυσόν.[244]

498. εἱλικτοῖς] mêmes variantes que l. 3.
499. τοῦτον δὲ Lb. — εἰ δ' οὐ Lc.
500. διὰ ὕδ. τοῦ θ. ἀθ. Lb.

*
**

1.1.13 3. — 12. ΠΕΡΙ ΤΑ ΥΠΟΣΤΑΤΑ ΚΑΙ ΤΑ Δ ΣΩΜΑΤΑ ΚΑΤΑ ΤΟΝ ΔΗΜΟΚΡΙΤΟΝ ΤΟΝ ΕΙΠΟΝΤΑ. [501]

Transcrit sur M, f. 141 v. ;— *Collationné sur* B, f. 119 v. ;— *sur* A, f. 113 v. ;— *sur* K, f. 18 v. ;— *sur* E, f. 43 (le § 1 seulement) ;— *sur* Lb, (copie de E), p. 153 ;— *Plusieurs leçons de* M *sont rapportées en marge de* K. — *Chap.* 34 *de la compilation du Chrétien dans* E Lb.

1. Τὰ τέσσαρα σώματα ὑπόστατά εἰσιν, καὶ οὐδὲν αὐτῶν φεύγει [502] · ἔνθεν οὐδὲ ἐκφυσᾶν τὸ σύνθεμα ἐμνημόνευσεν. Εἰ γὰρ ἦν χρήσιμον, πάντως ἂν ἐμνημόνευσεν · φησὶ γάρ · « Οὐδὲν ὑπολέλειπται, οὐδὲν ὑστερεῖ. Τοῦτο καὶ εἰς τὸ χρυσοζώμιον « πᾶν σῶμα βάπτει, » τὰ τέσσαρα σώματα λέγων. Διὰ τοῦτο καὶ τὸν διδάσκαλον φάσκει [503] λέγοντα · « πάσας τὰς οὐσίας βάπτοντα, » δεικνύων ὅτι οὐδὲν ἐκφυ- (f. 142 r.) σᾶν τάχα οὐδὲ δύναται, ὅτι δὲ καὶ τὰ τέσσαρα ὑπόστατα [504] καὶ βάπτονται καὶ βάπτουσιν · τὸν Παμμένην εἰσάγει μετὰ τοῦ μολύβδου πεπραχότα ὡς οὐ χρεία αὐτὸν ἐκφυσᾶν. Ἑαυτὸν γὰρ [505] ἐν ταῖς ἑψήσεσιν ἐξατμίζεται, ὅτι αὐτὸς βάπτει, φησὶν ἡ Μαρία, τὴν μολιβδίνην τοῦ μολύβδου. Ἆρον, φησίν · ὅπου ἂν ἔμβῃ βάπτει · ἐμφῆναι καὶ αὐτὴ ἠθέλησεν ὡς οὐ καλῶς τὸν μόλυβδον ἐκφυσῶμεν. [506] Τοῖς γὰρ ὀνόμασιν τοῖς ἔξωθεν τῶν τεχνῶν ἐχρήσατο ἐν τῇ αὐτῶν ἐργασίᾳ. Οὐχ οὕτως αὐτοὶ ἐργαζόμενοι, ὅταν λέγωσι τὸν ἡμῶν χαλκὸν, ἢ οἱονδήποτε σῶμα ποιεῖ πέταλον, καὶ ποιεῖ δίχυτον. Καὶ ὁ φιλόσοφος [507] τοῦτον καθεὶς γενόμενον πέταλον · καὶ δεξάμενον πετάλου τομὴν. [508] Καὶ ἐὰν ῥεύσῃ, βέλτιον. Ταῦτα μὲν οὖν λέγουσιν · « Οὐ διὰ πετάλου, ἀλλὰ διὰ ξάνθωσιν ὡς ἀποτεινόμενοι περὶ τῶν ξ ... [509]

2. Οὕτως καὶ ἐὰν λέγωσιν ἐκφυσᾶν, οὐ τὸν ἔξω λέγουσιν, [510] ἀλλ' ἐν τῇ ἑαυτῶν ἐργασίᾳ · ἑαυτοῖς γὰρ ἐκφυσῶνται ἑψόμενα, καταλείψαντα τὸ εἰλικρινὲς αὐτῶν καὶ τὸ βαπτικὸν, ἅπερ ἑψόμενα, ἀποβάλλουσι καὶ ἐξατμίζουσι τὰ ἄχρηστα, καὶ ἕτερα

501. Titre dans BAK : περὶ τῶν ὑποστατῶν καὶ δ ′ σωμάτων κ. τ. λ. — Titre dans E Lb : περὶ τῶν ὑποστατῶν δ ′ σωμάτων κατὰ Δημόκριτον. (accent reporté partout sur la dernière syllabe de ὑπόστατα dans les mss.)

502. τὰ ὑποστατά (τὰ gratté) M. — Après σώματα] φησὶν ὁ Δημόκριτος add. Lb.

503. φάσκειν M.

504. ἐκφ. δεῖ Lb.

505. πεπρικότα M.

506. ἕως οὗ Lb., f. mel.

507. διάχυτον B, etc. — (= BAKELb), f. mel.

508. πέταλον] Le signe de πέταλον partout MA. — τομήν] · τὸ μήνης BAK.

509. ἀλλὰ διὰ ξ MBAKE. Lu comme Lb. (*M. B.*). — ξ est un signe inconnu. E Lb ont lu, la première fois : ξάνθωσιν, leçon que nous adoptons, et la seconde fois : τῶν ὑδάτων θαλασσίων, confondant ce signe avec celui de la planche 6, l. 6 (*Introd.* de M. Berthelot, p. 116), et de plus Lb a ajouté τῶν ξανθῶν. — La seconde fois, lire peut-être περὶ τῶν ξανθῶν (*M. B.*)

510. Interrompu ici la collation suivie de E.

ὀνόματα[511] καλοῦνται καθαρθέντα, ὥστε καὶ ἐκφυσῶνται, καὶ ἕως ᾖ τὸ εἰλικρινὲς αὐτῶν καὶ βαπτικὸν, καίονται ἐν ταῖς ἑψήσεσι καὶ τὰ ἐν ἑαυτοῖς ἐκφυσῶνται πάντα, καταλείψαντα τὸ χρήσιμον καὶ βαπτικὸν πνεῦμα.

3. ΠΕΡΙ ΤΩΝ ΑΥΤΩΝ ΣΤΑΘΜΩΝ ΩΜΩΝ ΤΕ ΚΑΙ ΕΦΘΩΝ.[512] — Τῶν γραφῶν περὶ τούτων παρεγγυουσῶν, ἀμέλει οὖν ὁ μόλυβδος ἐκφυσηθεὶς[513] ἀπολείπεται · καὶ τοῦτο ἠνίξατο ἡ Μαρία λέγουσα · « Εὑρήσεις γὰρ μέρη εʹ ὑστεροῦντα μέρους ἑνὸς, δηλονότι τοῦ ἐκφυσηθέντος[514] μολύβδου. Ὁμοίως καὶ ἐν τῇ τελείᾳ τῆς ἐκδόσεως τὸν χαλκόν φησιν[515] κατ' ἐξίωσιν, καὶ χώνευσιν, τὸ τρίτον τοῦ σταθμοῦ ἐλαττοῦται.[516] » Τελείας δὲ εἴρηκεν αὐτὰς ὁμοῦ λευκαινούσας καὶ ξανθούσας · τὰ γὰρ θειώδη βάπτουσιν, ἀλλὰ (f. 142 v.), φεύγουσιν. Ὑστερούμεθα γοῦν καὶ τῶν θειωδῶν διὰ τὴν φυγὴν, τάχα δὲ καὶ τῶν βοτανῶν, εἴπερ ὅλως συλλειοῦνται. Τινὲς γὰρ σὺν τῷ ὕδατι τοῦ θείου ἥψησαν αὐτὰ,[517] τὸ ξυλῶδες ἀποβάλλοντες.

4. Οὐ μάτην ὁ Ἀγαθοδαίμων φησὶ « καὶ ἑνούμενα. » ἀλλ' ἵνα τῷ βάθει τοῦ σώματος τοῦ ἀργύρου προσομιλήσαντα τὴν ἀπὸ τοῦ πυρὸς φθορὰν φυγεῖν δυνηθῶσιν. Στερούμεθα οὖν καὶ τῶν βοτανῶν,[518] μαθόντες τὴν ἀπ' αὐτῶν ποιότητα, καὶ βαφὴν οὐ λαμβάνοντες.[519] Αἱ γὰρ ποιότητες μόναι ἐνεργοῦσι · σῶμα γὰρ διὰ σώματος παρελθεῖν ἀδυνατεῖ. Ὁ Ἀριστοτέλης · αἱ ποιότητες δι' ἀλλήλων παρέρχονται[520] · καὶ Ἀγαθοδαίμων ὃ καὶ κάτω ἀσώματα τὰ σώματα[521] λαμβάνει χρῆσαι πνεύματι χρυσοκόλλης · πνεῦμα δὲ πᾶσι κατάδηλον[522] ὡς ἀσώματον λαμβάνων · αἱ αἰθάλαι αὗται πνεύματι ἐοίκασιν[523] · αἰθάλη λευκὴ, ἡ τῆς κινναβάρεως νεφέλη,[524]

... καὶ πνεῦμα μελάντερον, ὑγρὸν, ἄχραντον.[525]

Πᾶσα γὰρ αἰθάλη πνεῦμα, καὶ αὗται αἱ ποιότητες αἱ βαπτικαί. Καὶ ὁ θεῖος Δημόκριτος λέγει τὴν λεύκωσιν, καὶ ὁ Ἑρμῆς τὸν καπνὸν εἴρηκεν. Οἱ γὰρ χρήσιμοι αὐτοὶ ἦσαν · παρέλαβον αὐτὰς ἐν[526] ταῖς οἰκονομίαις, ἀλλὰ δι' αἰνιγμάτων · διὰ τοῦτο καὶ μυστήριον.[527] Ταῦτα ἔγραψα εἰς τὸ κεφάλαιον τοῦ « Ἐὰν ᾖς νοήμων.

511. ἑτέροις ὀνόμασι Lb.
512. Titre du chapitre 35 de la compilation du Chrétien dans E Lb. — Réd. de Lb : Αἱ γραφαὶ παρεγγυῶσιν ὅτι ὁ μόλ. (d'après les corr. portées dans E).
513. παραγνουσων (*sic*) M K mg.
514. μέρους] μέρος M.
515. ἐν τῇ τελείᾳ ἐκδόσει Lb.
516. ἐλαττοῦσθαι Lb.
517. F. l. αὐτὰς.
518. F. l. ὑστερούμεθα. Cp. p. précédente, l. 20. — οὖν] δὲ B etc.
519. καὶ βαφὴν καὶ λαμβ. M ; καὶ οὐ λαμβ. τὴν βαφὴν B, etc.
520. Réd. de Lb : Διὸ καὶ Ἀρ. φησίν. — παρέχονται M.
521. καὶ Ἀγ.] ὁ Ἀγ. δὲ καὶ ὁ Κώμαρις ἀσώματα Lb. — ὃ καὶ κάτω] F. l. ἄνω καὶ κάτω.
522. πνεῦμα MBAK. — Réd. de Lb : χρῆσαι γάρ φασι Lb. — κατάδηλόν ἐστι ὅτι ὡς ἀσώμ. λαμβάνουσι Lb.
523. αἱ αἰθ. δὲ Lb.
524. E a traduit par σήψεως le signe de κινναβάρεως ; Lb l'a suivi. De même, l. 17.
525. Vers cité ailleurs (3, 19, 3) comme oracle d'Apollon.
526. χρήσιμοι] F. l. χρησμοὶ. Réd. de Lb : εἰ γὰρ χρ. αὗται ἦσαν.
527. Après οἰκονομίαις] ἀλλ' οὐχ οὕτως add. B, etc. — Réd. de Lb : Διὰ τοῦτο κ. μυστήρια ταῦτα ἔγραψεν εἰς τ. κ. τὸ Ἐὰν.

» Αἰθάλη[528] θείου ἀθίκτου, ἀρσενίκου, σανδαράχης, καὶ αἰθάλη λευκὴ κινναβάρεως.[529] Ὁ Ἀγαθοδαίμων · « Ἀρσενίκου τῷ χρυσίζοντι τοῦτο ψυχῆς[530] · δίχα τοῦ παχυτάτου αὐτοῦ καὶ καυστικοῦ, καὶ θὲιῶδες σῶμα ἐάσας, λάμβανε ποιότητα. »

5. Αἰθάλη δὲ πνεῦμα, πνεύματι διὰ τὰ σώματα. Διενήνοχεν οὖν[531] ψυχὴ πνεύματος. Ψυχὴν καλεῖ τὴν ἀπ' ἀρχῆς θειώδη καὶ καυστικὴν[532] φύσιν, ταύτην διὰ πυρὸς προσομιλοῦν τε καὶ καθαιρόμενον τὸ[533] πνεῦμα σώζει, ἐὰν τεχνικῶς τηρηθῇ · ἀπολέσθαι γὰρ οὐ δύναται. Τοῦτο τὸ χρήσιμον τὸ βαπτικόν · τοιούτῳ δὲ χρὴ εἶναι ἀνθρώπῳ[534] λεπτῷ τῷ νοῒ, ἵνα ἐπιγνῷ πνεῦμα ἀπὸ σώματος ἐξερχόμενον, κἀκείνῳ[535] χρήσηται, καὶ ἐξ ἐκείνου διατηρή- (f. 143 r.) σας ἐπιτεύξηται τοῦ[536] σκοποῦ, δηλαδὴ τοῦ σώματος ἀπολομένου, καὶ τὸ πνεῦμα συναπολέσθαι.[537] Οὐκ ἀπώλετο δὲ, ἀλλὰ τῷ βάθει διέδυ, ποιήσαντος τὸ[538] πρᾶγμα.

6. Οἱ δὲ μὴ ἐπιγνῶντες τὸ καλῶς γεγονὸς, κακῶς ὑπέλαβον · οὐδὲν γὰρ ἄλλο ὁρῶσιν, εἰ μὴ σώματα, καὶ ταῦτα καέντα, ἢ τεφρωθέντα · καὶ ὑπολαβόντες τούτων μόνον τὸ ὁρώμενον, ὥσπερ ζημιωθέντες οἱ[539] ἀποτυχόντες τὰ πάντα σφετερίζουσιν · καὶ οὐδ' οὕτω φεύγουσιν τοῦ[540] τεφροῦντος · οὐδαμοῦ γὰρ τῶν γραφῶν εἴρηταί τι ὑπόστατον, εἰ μὴ[541] ἐκεῖ μόνος ὁ χαλκὸς ὃν ἡ Μαρία λέγει οἰκονομεῖσθαι χαλκὸν καὶ[542] ὕστερον καίεσθαι · καὶ ἔσται ὑποστατικός. Οὕτως ὁ τῆς ἐργασίας ἡμῶν χαλκὸς ἢ ἄργυρος · οὔτε γε ποιότητα ἐξ αὐτῶν βουλόμεθα λαβεῖν · τὸ δὲ σῶμα αὐτῶν θνητὸν ἄχρηστον · οὔτε γὰρ βοτάναι · πυρὶ γὰρ[543] εἰώθασιν δαπανᾶσθαι.

7. Ὁ Ἀγαθοδαίμων λέγει · « Μαγνησία καὶ στίμι καὶ λιθάργυρος[544] φεύγουσιν, τὸ εἰλικρινὲς καταλείψαντα. » Ἡ Μαρία · « Ἐκφύσα, φησὶν, αἰθάλας ἕως ἐκφύγω-

528. Réd. de Lb : ἡ αἰθάλη δὲ τὸ θεῖον τῶν ἀρσενικῶν καὶ ἡ αἰθ. δὲ ἡ λευκὴ ἐστιν ἡ τῆς σήψεως.

529. ἀρσενίκου σανδαράχης] signe de l'arsenic redoublé, dans M, et ἀρσενίκου d'une main du 15e siècle au-dessus du second signe, que nous lisons σανδαράχης comme BAK. Lb a lu ce double signe ἀρσενικῶν

530. Réd. de Lb : Ἀγ. δὲ ἀρσενικόν φησι τὸ χρυσίζον τοῦτο εἶναι τὴν ψυχήν.

531. Le texte commençant avec notre § 5, et finissant sur les mots ὁ χαλκὸς ὁ ἡμῶν παρ' αὐτοῖς αἰθάλη, cinquième ligne du § 7, reparaît dans M seul (= M^2), à partir de cette ligne, avec des variantes nombreuses, mais sans importance. Le texte des mss. B etc. est généralement conforme à celui de cette reproduction ; toutefois il est plus complet (Cp. l. 21). — Αἰθάλη δὲ πνεῦμά ἐστι Lb. Cp. p. suiv., l. 4. — οὖν] δὲ Lb.

532. φ. δὲ καλεῖ Lb.

533. ταύτην — προσομιλοῦν τε] αὕτη γὰρ διὰ π. προσομιλοῦσα Lb.

534. Réd. de Lb : τοιοῦτον δὲ χρὴ εἶναι τὸν ἄνθρωπον λεπτὸν τῷ νοΐ.

535. εἶτα κἀκ. χρήσεται. et l. 7 : ἐπιτεύξεται B, etc.

536. καὶ] ἢ M^2.

537. συναπολεῖται Lb.

538. ποιήσ. τινος αὐτὸ τὸ πρ. Lb.

539. καὶ om. M^2 B. etc. — ζημ. τι M^2.

540. καὶ om. M^2 — F. l. φεύγουσιν καὶ τεφροῦνται (leçon de M^2).

541. Après τεφροῦντος] Addition de M^2 B, etc. : ἡ δὲ ποιότης μόνη μετὰ τοῦ χαλκοῦ παραμένει · ἐκεῖνος γὰρ μόνος ἄφευκτος < καὶ add. L. > ὑπόστατος. — εἰ μὴ μόνον τὸν χαλκὸν Lb.

542. ἐκεῖ om. M^2 B, etc. — χαλκὸν om. M^2 B etc., f. mel.

543. δὲ] γὰρ M^2 B, etc. — γὰρ om. M^2.

544. λέγει] φησὶ M^2 B, etc. — μαγνησία jusqu'à αἰθάλας om. M^2 seul.

σιν μετὰ τῆς σκιᾶς τὰ θειώδη, καὶ γένηται χαλκὸς ἀσκίαστος. » Οὕτως ὁ χαλκὸς ὁ ἡμῶν παρ' αὐτοῖς, αἰθάλη · αἰθάλη δὲ πνεῦμα · πνεῦμα δ' ἐστὶ τὸ τοῦ σώματος. Διενήνοχεν[545] οὖν ψυχὴ πνεύματος. Ψυχὴν καλεῖ τὴν ἀπ' ἀρχῆς θειώδη καὶ καυστικὴν φύσιν, ταύτην διὰ πυρὸς προσομιλοῦν τε καὶ καθαιρόμενον τὸ πνεῦμα σώζει, ἐὰν τεχνικῶς τηρηθῇ · ἀπολέσθαι γὰρ οὐ δύναται. Τοῦτο τὸ χρήσιμον τὸ βαπτικόν. Τοιούτῳ δὲ χρὴ εἶναι ἀνθρώπῳ λεπτῷ τῷ νοΐ, ἵνα ἐπιγνῷ πνεῦμα ἀπὸ σώματος ἐξερχόμενον, κἀκείνῳ χρήσηται, ἢ ἐκεῖνο διατηρήσας ἐπιτεύξηται τοῦ σκοποῦ, δηλαδὴ τοῦ σώματος ἀπολλομένου, καὶ τὸ πνεῦμα συναπολέσθαι. Οὐκ ἀπώλετο δὲ, ἀλλὰ τῷ βάθει διέδυ, ποιήσαντος τὸ πρᾶγμα.

8. Οἱ δὲ μὴ ἐπιγνῶντες τὸ καλῶς γεγονὸς, κακῶς ὑπέλαβον · οὐδὲν γὰρ ἄλλο ὁρῶσιν, ἢ μὴ σώματα, καὶ ταῦτα καέντα, καὶ τεφρωθέντα ὑπολαβόντες τούτων (f. 143 v.) μόνον τὸ ὁρώμενον, ὥσπερ ζημιωθέντες τι οἱ ἀποτυχόντες τὰ πάντα σφετερίζουσιν · οὐδ' οὕτω γὰρ φεύγουσιν τε καὶ τεφροῦνται · ἡ δὲ ποιότης μόνη μετὰ τοῦ χαλκοῦ παραμένει · ἐκεῖνος γὰρ μόνος ἄφευκτος ὑπόστατος · οὐδαμοῦ γὰρ τῶν γραφῶν εἴρηταί τι ὑπόστατον, εἰ μὴ μόνος ὁ χαλκός · Μαρία λέγει οἰκονομεῖσθαι καὶ ὕστερον καίεσθαι · καὶ ἔσται ὑποστατικός. Οὗτος ὁ τῆς ἐργασίας ἡμῶν χαλκὸς ἢ ἄργυρος · οὔτε γὰρ ποιότητα ἐξ αὐτῶν βουλόμεθα λαβεῖν · τὸ γὰρ σῶμα αὐτῶν θνητὸν ἄχρηστον, οὔτε βοτανῶν ποιότητα · πυρὶ γὰρ εἰώθασι δαπανᾶσθαι. Ἀγαθοδαίμων φησὶν — — ἕως οὗ ἐκφύγωσιν μετὰ τῆς σκιᾶς τὰ θειώδη,[546] καὶ γένηται ὁ χαλκὸς ἀσκίαστος. Οὕτως ὁ χαλκὸς ὁ ἡμῶν αἰθάλη.[547]

9. Τὰ σταθμὰ ἀπεσιώπησεν ὁ Δημόκριτος · φησίν · « Οὐδὲν ὑπολέλειπται, οὐδὲν ὑστερεῖ πλὴν τῆς νεφέλης καὶ τοῦ ὕδατος ἡ ἄρσις. Εἰ δὲ ὅπερ ἔλεγεν καὶ περὶ σταθμῶν · καὶ θείου σταθμὸν πεποίηται[548] ἐν τῇ ὑστέρᾳ τάξει · καὶ τὸν λευκὸν ζωμὸν ἀρσενίκου γ° α', » καὶ τὰ ἑξῆς. Δύο γὰρ συνθέματα θείων καὶ οὐσίαι τῶν οὐσιῶν · καὶ ἄλλαι αἱ οὐσίαι καὶ τὰ μέταλλα ἐν τῷ θείῳ, καί γε καὶ τὰ ὅμοια,[549] πλὴν πάντα ἀπολειφθέντα, χαλκὸς εὑρεθήσεται ποιωθεὶς, ὡς φύσιν[550] ἔχων συγγαμεῖσθαι, καὶ συγκρατεῖται, καὶ συντέρπεται · καὶ τοῦτο[551] · « Η φύσις τὴν φύσιν τέρπει. » Πάντα γὰρ τὰ σώματα λαβὼν ὁ ἄργυρος οὐκ ἐλαύνεται, εἰ μὴ ὁ χαλκὸς, καὶ τοῦτο μόνον δέχεται,[552] ὥσπερ ἵππος ὄνον, καὶ κύων λύκον, καὶ ὅσα κατὰ τὸν αὐτὸν καιρὸν[553] τὰ ὅμοια φυσικὰ πάσχουσιν. Καὶ γὰρ ἰώθη ὁ χαλκὸς, καὶ ἀνεξιώθη[554] · καὶ οὐκ ἀπαλλάττεται τῆς ἑαυτοῦ φύσεως. Ὁ Δημόκριτος[555] ἐν

545. Αἰθάλη δὲ πνεῦμα, κ. τ. λ. (lignes 4 à 25)] Voir la note, p. 151, l. 1.

546. Cp. p. 151, l. 21.

547. Fin de la répétition dans M.

548. εἰ δὲ ὅπερ ἔλεγεν] τοῦτο δὲ ἔλεγε Lb. F. l. ἔλεγον. — περὶ σταθμῶν gratté dans M et corrigé par le copiste en περισταθμὸν. — καὶ θείου] και θείων BAK ; καὶ ἐκ τῶν θείων Lb. — πεποίηνται B, etc.

549. αἱ om. B etc., f. mel. — καί γε] καὶ νεφέλη (γε lu νε ?) E, corrigé en ἐν τῇ νεφέλῃ, (leçon de Lb.)

550. πάντα · ἀπολειφθὲν, χαλκὸς M.

551. συγκρατεῖσθαι καὶ συντέρπεσθαι B etc.

552. καὶ τοῦτο] οὗτος γὰρ Lb.

553. αὐτὸν] ταὐτὸν M.

554. ἀνεξιώθη] ἐξιώθη B etc.

555. ὁ Δημ. δὲ Lb.

τῇ τάξει τῆς μαγνησίας · « Ἡ γὰρ μαγνησία λευκανθεῖσα οὐκ ἐᾷ ῥήγνυσθαι τὰ σώματα, οὐδὲ τῇ σκιᾷ τοῦ χαλκοῦ ἐπιφαίνεσθαι. » Καὶ [556] ἀπεδώκαμεν τὸν περὶ σταθμῶν λόγον. Ἔρρωσο.

✳
✳✳

1.1.14 3. — 13. ΠΕΡΙ ΔΙΑΦΟΡΑΣ ΧΑΛΚΟΥ ΚΕΚΑΥΜΕΝΟΥ.

Transcrit sur M, f. 144 r. — *Collationné sur* B, f. 123 r. ;— *sur* A, f. 115 v. ;— *sur* K, f. 20 r. ;— *sur* E, f. 47 r. ;— *sur* Lb (*copie de* E), p. 169. — *Chap.* 36 *de la compilation du Chrétien dans* E Lb. — *Ce texte, dans son entier, forme le* § 1 *du morceau* 3, 46. *Nous le donnons ici avec les principales variantes de ce morceau, désignées par un astérisque.*

Χαλκὸν κεκαυμένον ποιοῦσιν πολλοὶ διὰ θείου, ὡς αἱ τάξεις τῶν [557] ἄλλων λέγουσιν ἀσαφῶς · μόνος δὲ Δημόκριτος ἀφθόνως. Τῷ χαλκῷ [558] ἐπιβάλλειν τὸν δʹ σίδηρον θειωθέντα, τουτέστιν χωνευθέντα μετὰ τοῦ [559] μαγνήτου τὸ δʹ, ἢ θείου ἀθίκτου ἥμισυ, ἵνα ῥεύσῃ ἐπὶ τὸν μολύβδον [560] τὸν ἀπὸ στίμμεως καὶ λιθαργύρου · ἔπειτα πυρίτην, χαλκὸν, σίδηρον [561] κάῃς, ἵνα πρεπόντως γένηται σκωρίδιον. Τούτῳ ἐπίβαλλε νεφέλην [562] τὴν ἀπὸ ἀρσενίκου. Λευκαίνεται δὲ διὰ τοῦ θείου ἀθίκτου ἡ νεφέλη. [563] Ὅταν δὲ λέγῃ ψιμύθιον ἅμα θείῳ ὀπτηθὲν, τὸ θεῖον ἄθικτον δηλοῖ, [564] ἵνα γένηται χαλκὸς, μόλυβδος, ἐτήσιος · ὅταν δὲ λέγῃ · « τὸ δὲ [565] αὐτὸ ποιεῖ καὶ μαγνησία λευκανθεῖσα, » κιννάβαριν συνοικονομηθεῖσαν [566] ἔλεγεν. Ἀλλ' ἐρεῖ τις · μαγνησίαν πρῶτον εἴρηκεν, καὶ πυρίτην. [567] Ναὶ, ἵνα μάθῃς ὅτι ἅμα τῷ χαλκῷ σίδηρος καὶ ὁ μόλυβδος βάλλεται, [568] καὶ οἱ λίθοι, ἵνα γένηται χαλκὸς, μόλυβδος, ἐτήσιος χαλκός. [569]

✳
✳✳

---

556. καὶ οὕτως ἀπεδ. Lb.
557. πολλοι] τινὲς ⋆.
558. Réd. de Lb : μόνος δὲ ὁ Δημ. ἀφθ. τῷ χαλκῷ ἐπιβάλλει τὴν λευκὴν λιθάργυρον θειωθεῖσαν τουτέστι χωνευθεῖσαν μετὰ τοῦ τετάρτου τοῦ μαγν. ἢ θείου τοῦ ἡμίσεως.
559. ἐπιβαλλ ʹ B ; ἐπίβαλλον A ; ἐπιβάλλον (ω sur ο) K ; ἐπίβαλον ⋆ ἐπιβάλλων corr. en ἐπιβάλλει E. F. l. ἐπίβαλλε. — τὸ τέταρτον ἢ σιδ. ⋆. F. l. τὸν Δ (= λευκὸν) σίδ.
560. τοῦ μολύβδου τοῦ ⋆.
561. Réd. de Lb : ἔπειτα σὺν τῷ πυρίτῃ ἡ χαλκολιθάργυρος.
562. κάῃς] καίεται B etc. — τοῦτο M ; τούτου ⋆ ; ταύτῃ Lb.
563. τὴν νεφέλην M.
564. ψιμύθιον — λέγῃ om. ⋆.
565. χαλκομόλυβδος Lb. — αἰτήσιος E (par correction) Lb.
566. κιννάβαριν] σῆψιν Lb. Cp. p. 150, l. 10. note.
567. μαγνησίαν] μέγα ⋆ (Confusion causée par le signe commun μʏ de mss. antérieurs).
568. ναὶ om. ⋆. — σίδηρος] ἡ λιθάργυρος Lb.
569. Add. de ⋆ : ὅ τι τὸ ἀπ' αἰῶνος ζητούμενον ᾠόν.

1.1.15 3. — 14. ΠΕΡΙ ΤΟΥ ΟΤΙ ΠΑΝΤΩΝ ΤΩΝ ΥΓΡΩΝ ΤΟ ΘΕΙΟΝ ΥΔΩΡ ΚΑΛΟΥΣΙΝ · ΚΑΙ ΤΟΥΤΟ ΣΥΝΘΕΤΟΝ ΕΣΤΙΝ, ΚΑΙ ΟΥΧ ΑΠΛΟΥΝ.

Transcrit sur M, f. 144 r. — *Collationné sur* B, f. 123 r. ;— *sur* A, f. 116 r. ; (A ou A[1]) ;— *sur* A, f. 242 v. (A[2]) ;— *sur* E, f. 47 v. ;— *sur* Lb (*copie de* E), p. 173. — A[2] *ne contient que le* § 1 *jusqu'à la ligne* 5 *de la* page 155. — *Chap.* 37 *de la compilation du Chrétien dans* E Lb (*non numéroté dans* E).

1. Τὴν προγεγραμμένην νεφέλην ἕψει ἐλαίῳ · ἡ προγεγραμμένη νεφέλη ὅλον τὸ σύνθεμα · ἔοικεν γὰρ τὸ ὕδωρ τοῦ θείου καὶ ἔλαιον [570] λαμβάνειν. Μετὰ ὅλων δὲ τῶν ὑγρῶν οἰκονομοῦσιν, ἔνυγρον αἰνισσόμενοι · πρῶτον γὰρ ὀξάλμῃ, εἶτα ἐλαίῳ, εἶτα μέλιτι καὶ γάλακτι, ὕδωρ θεῖον αἰνίσσονται · ἀλλὰ καὶ ὁ κρόκος καθ' ἑαυτὸν ἀδυναμεῖ, εἰ μὴ διὰ τοῦ σκεύους τοῦ θείου ὕδατος · καὶ οἱ βαφεῖς οὕτω χρῶνται [571] · Καὶ Μαρία · « λύσιν κομάρεως καὶ ἐλυδρίου. » Καὶ Δημόκριτος ἐν [572] τῇ ὑστέρᾳ τάξει τῶν λευκῶν ζωμῶν · « Ὕδωρ ἀσβέστου στακτικῆς διὰ τοῦ ῥυτοῦ στάζον, ἢ δι' ὑλιστῆρος. » Ταριχεύονται τὰ εἴδη πάντα διὰ τῶν ἁπλῶν ὑγρῶν · καὶ τὰ ἐνδεχόμενα πλύνεται · πλύνονται δὲ οἷον τὰ [573] στερεὰ σώματα · ταριχέυονται δὲ, ἢ λειούμενα, ἢ βρεχόμενα, καὶ τὰ ἐνδεχόμενα (f. 144 v.) ἡλίῳ καὶ δρόσῳ λειοῦνται, ὡς τὸ λευκὸν θεῖον ἡ λιθάργυρος · ταριχεύονται περὶ τὸν ἀριθμὸν οἷα ἡμέραν α′ ἢ γ′ ἢ ε′ ἢ ζ′, [574] [ἕως] τοῦτο ἐπὶ πάσης λειώσεως. [575]

2. Ταριχευθέντων οὖν αὐτῶν, συμμίξεις ποιήσεις καὶ συλλειοῖς ἐν δρόσῳ καὶ ἡλίῳ. Καὶ ἀναξηράνας καὶ συλλειώσας αὐτοῖς νιτρελαίῳ [576] κατάσπα, καὶ εὑρήσεις μέλανα μόλυβδον. Τοῦτον λύε, ἀναλάμβανε [577] ὑδράργυρον καὶ ὕδωρ θεῖον καὶ κόμμι, καὶ ὄπτησον ἐλαφροῖς φωσὶν, [578] ἕως ἂν ἀπόθηται τὸ ὕδωρ, καὶ λύεις ἐν ἡλίῳ, ἕως οὗ λευκανθῇ καλῶς. [579]

3. Τοῦτο πολλάκις ποιοῦσιν βαπτίζοντες τὸ σκωρίδιον. Καὶ Πηβίχιος · « Κατάβαπτε δὶς ζ′ καὶ δὶς ὀκτὼ ἐπὶ ὀκτὼ καὶ ἐπιπλέω. [580] » Καὶ Δημόκριτος, τὸ αὐτὸ ποιῶν ἐν τῇ ὑστέρᾳ τάξει τῶν [581] λευκῶν ζωμῶν, εἰς τοῦτο πόρον καταβάπτει καὶ τὰ ἔνσκια πέταλα, [582] καὶ ἀποσκιώσεις ποιεῖ. Καὶ ἀναξηράνας εἰ ἔστιν ἀσκίαστος,

570. Après τὸ σύνθεμα] ἐστὶ A[2] ; ἔχει Lb. — τὸ θεῖον A[2].

571. οὕτω] αὐτὸ A[2], f. mel.

572. καὶ ἡ Μαρία B etc. ; καὶ μηούσιν λείωσιν κωμ. A[2]. — Après ἐλυδρίου] καλεῖ add. Lb.

573. Après ὑγρῶν] Réd. de A[2] : ψήνεται ἐν χωνεία πλυνόμενα. πλύναι τὰ στερεὰ σώματα καὶ ταριχεύονται (Fin dans A[2]). — οἷον] ὥσπερ Lb.

574. ἡ] F. l. ἤ. — ταριχ. δὲ Lb. — περὶ τὸν ἀριθμὸν [en toutes lettres dans les mss.]. F. l. περὶ τοῦ ὄξους. Les signes de ἀριθμός et l'un de ceux de ὄξος sont presque semblables. Voir dans l'Introduction de M. Berthelot, p. 110 et 116, les notations alchimiques, pl. 3, l. 4 et pl. 6, l. 5.

575. ἕως] καὶ E, f. mel. ; om. B etc. — τοῦτο δὲ ποίει ἐ. π. λ. Lb.

576. αὐτὰ Lb, f. mel.

577. λύει M ; λείου B etc. Corr. conj.

578. κόμμι] κομίδι M.

579. λείεις A ; λειώσεις Lb. F. l. λειοῖς.

580. ἐπιπλέον B etc.

581. ποιεῖ B etc.

582. πόρον] γὰρ Lb ; om. B etc. F. l. εἰς τοῦτον πόρον.

ἀναλάμβανε [583] νεφέλην, βάλλε τὰ ξανθῶσαι δυνάμενα ὕδωρ θεῖον, καὶ κόμμι, [584] πῆξον ἐλαφροῖς φῶσιν · Ὅταν πήξῃς, μεταβαλὼν [585] [ἡμέρας β′ ἢ γ′] καταρρεῦσαι ποίησον εἰς τὸ τοῦ φαρμάκου λείψανον ἡμέρας β′ ἢ γ′ ἢ ζ′ μα′. Τούτῳ ἐπιβάλλεις ἄργυρον κοινὸν, καὶ βάπτεις. Ἑξῆς δὲ [586] καὶ περὶ τῶν καιρῶν ζητήσωμεν.

✳
✳✳

1.1.16 3. — 15. ΠΕΡΙ ΤΟΥ ΕΝ ΠΑΝΤΙ ΚΑΙΡΩ ΑΡΚΤΕΟΝ.

Transcrit sur M, f. 144 v. — *Collationné sur* B, f. 124 r. ;— *sur* A, f. 116 v. ;— *sur* K, f. 20 v. ;— *sur* E, f. 48 v. ;— *sur* Lb, p. 177. — *Les variantes de* M, *par rapport à* BAK, *ont été reportées en marge de* K. — *Chap.* 38 *de la compilation du Chrétien dans* E Lb.

1. Ἀναγκαῖον καὶ περὶ καιρῶν ζητήσωμεν. Τὸ πνεῦμα ἔλεγεν, φησὶν, ἀπὸ ἄνθους ἡλιοῦσθαι καὶ ταριχεύεσθαι ἕως τοῦ ἔαρος · καὶ τότε λοιπὸν ἐν παντὶ καιρῷ πυρὸς, ὁ χρυσὸς εἰς τὸ χρῆσθαι. Ὁ γὰρ [587] μέγας, φησὶν, ἥλιος ποιεῖ τοῦτο, ὅτι δι' αὐτοῦ, φησὶν, γίνεται. Ἄκουε τοῦ Ἑρμοῦ λέγοντος ὅτι ἡ μάλαξις τῶν ἀλαξίμων γίνεται ἐν ψυχροῖς. [588] Περὶ τούτου ἰσχυρῶς διέλαβεν ἐν τῷ τέλει τῆς λευκώσεως τοῦ μολύβδου [589] · ἐκεῖ καὶ περὶ τοῦ χρυσοῦ λέγει · οὕτως πως ὁ ποιῶν τὸ πᾶν · ἐκεῖ καὶ περὶ τοῦ ἠθμῆσαι τὸ πᾶν διέλαβεν ὅν τινα ἠθμόν · οὔτε Ἀγαθοδαίμονα λέληθε, καὶ ταύτην ἄμμου πλύσιν ἔφη [590] καὶ κάθαρσιν, [591] ὅτε τὸ πᾶν λειω- (f. 145 r.) θὲν καὶ γενόμενον ὕδωρ ἔλθῃ [592] διὰ ἠθμοῦ ἢ ὑλιστῆρος. Καὶ ὁ Ἑρμῆς φησιν · « Γίνεται ὡς ἡ στάκτη ἀκακία. » Ἐὰν μὲν γὰρ ὑποστάθμην, δῆλον γέγονεν ὡς αἱ [593] οὐσίαι καὶ τὰ μέταλλα οὐδαμῶς λειοῦνται ·

2. Καὶ περὶ τούτων αὐτὸς ὁ Ἑρμῆς ἐν τοῖς κοσκίνοις ἰσχυρῶς διέλαβεν, λέγων ἄνω καὶ κάτω · « Ἐὰν καταβῇ τὰ ὕδατα, [594] αὐτὸ τὸ κοσκινον ὡς ἔοικε ῥοῦν. » Ὅλα ὁμοῦ καταβαίνοντα αὐτὰ κατὰ τὸν μέγαν Ἑρμῆν · τάχα καὶ ἀναβαίνοντα δι'

583. καὶ ἀναξηράναντες MBAK ; σὺ δὲ ἀναξηράνας Lb. F. l. ἀνεξερευνήσας. — εἰ] ἢ M.

584. ὕδωρ θεῖον] en signe M ; μετὰ ὕδατος θείου B etc.

585. καὶ πῆξον B etc. — [ἡμ. — γ′] om. B etc.

586. τοῦτο M ; καὶ τοῦτο Lb. — ἐπιβαλείς Lb. — ἄργυρον] en signe M ; ἀργύριον B etc.

587. χρυσὸς] signe de l'or ou du soleil MBAKE ; ἥλιος en toutes lettres Lb. — Lu χρυσὸς (*M. B.*). — F. l. πυρρὸς ὁ χρ. — χρᾶσθαι M.

588. ἀλλαξίμων AKELb.

589. τῆς λειώσεως (λευκώσεως E) καὶ τῆς σκευάσεως τοῦ μολ. Lb.

590. Ἀγαθοδαίμων M. — Réd. de Lb. : ὅστις ἠθμὸς οὔτε τὸν Ἀγ. λέληθεν, οὔτε τοὺς ἄλλους · ταύτην γὰρ ἐργασίαν πλύνσιν ἄμμου καὶ κάθαρσιν ὠνόμασαν.

591. ἔφη.] ὀνόμασαν A.

592. τὸ πᾶν] τὸ πνεῦμα A (en sigle) K.

593. ἀκακία] καὶ ἡ ἀκακία B ; καὶ ἡ ἀκαγία A (2ᵉ κ corrigé en γ par le copiste) ; καὶ ἡ ἀκαγία K (κ sur γ, d'une autre main) ; καὶ ἡ ἀκαγία E, et en mg. : ἀκαΐα ; καὶ ἡ ἀκαΐα Lb. — ὑποσταθμὴ ἢ Lb, f. mel.

594. κατάβῃ mss.

ὀργάνου, εἰς ὃ καὶ ἕψεσθαι δοκοῦσι. Ταῦτα δὲ εἰρήκαμεν τῷ λόγῳ, πλὴν ὁ λόγος περὶ καιροῦ. Καιρὸς [595] γὰρ ὁ θερινὸς, ὅτε ὁ ἥλιος φύσιν ἔχει πρὸς τὸ πρᾶγμα. Ἀμέλει οὖν ἡ Μαρία ἐν ταῖς ποιήσεσιν τοῦ προσωπιδίου · « Ὕδωρ θεῖον ληφθήσεται [596] τοῖς μὴ νοοῦσιν, ὡς γέγραπται, ὃ διὰ τῆς λωπάδος καὶ τοῦ σωλῆνος εἰς ὕψος ἀναπέμπεται. » Ἀλλ' ἔθος τοῦτο λέγειν ὕδωρ τὴν αἰθάλην [597] θείου ἀθίκτου, ἀρσενίκων · οὗ ἕνεκεν ἐμυκτήρισάς με ὅτι περ δι' ἑνὸς [598] λόγου, τοσοῦτόν σοι τὸ μυστήριον ἐξέφρασα.

3. Τοῦτο μὲν τὸ ὕδωρ τοῦ θείου λευκαινόμενον διὰ τῶν λευκαινόντων, [599] λευκαίνει, καὶ ξανθούμενον διὰ τῶν ξανθούντων, ξανθοῖ, [καὶ ποιῶν] καὶ μελαινόμενον διὰ χαλκάνθου καὶ κικίδου, μελανοῖ [600] · εἰς μέλανσιν ἀργύρου εἰς τὸν ἡμῶν μολυβδόχαλκον, περὶ οὗ μολυβδοχάλκου ἐν τῷ πατροπαραδότῳ ἀργύρῳ σοι προσεφώνησα. [601] Μελαινόμενον οὖν καὶ τὸ ὕδωρ ἀναλαμβάνοντα < τὸν > μολυβδόχαλκον ἡμῶν [602] βάπτει ἄφευκτον μέλανσιν, ἥν τινα, μηδὲν οὖσαν, μέγα ἐπιθυμοῦσιν [603] οἱ μύσται πάντες εἰδέναι · τὸ δὲ αὐτὸ ὕδωρ οἷον λαμβάνει τοιοῦτον, [604] καὶ βάπτει ἄφευκτον, ὑφεξαιρουμένου τοῦ ἐλαίου καὶ τοῦ μέλιτος. [605]

4. Καὶ ὁ φιλόσοφός φησιν ὅτι ὀλίγον θεῖον ἄθικτον οἶδε πολλὰ εἴδη καῦσαι, ἀλλὰ καὶ τοὺς λίθους καὶ τὰ μέταλλα μαλάσσει. Ἐν τούτῳ τῷ ὕδατι λειοῦται τὸ σύνθεμα τὸ θεῖον, ὡς εἰς τὸν ἀνδροδάμαντα φησίν · « Ἐὰν ἄπυρον θεῖον προβάλλῃς, ποι- (f. 145 v.) εῖς χρυσοζώμιον, [606] ὁμοῦ σὺν τῷ συνθέματι τῶν οὐσιῶν · καὶ τὸ σύνθεμα τῶν θειωδῶν λειοῦται. » Καὶ οὕτως ἕψειται ἢ ὀπτᾶται, ἵνα ὁ νοῦς σωθῇ. [607] « Ἐὰν, φησὶν, θεῖον ἄπυρον προσβάλλῃς, ποιεῖς χρυσοζώμιον διὰ πρίσματος, [608] ἢ κηροτακίδος, τὸ θεῖον ὕδωρ, ἕως σχῇ χρυσόν · ἕψει ἐλαφρῶς [609] κινῶν, ἐπιβάλλων τὰ μωτάρια τῆς ξανθῆς σανδαράχης. » Μωτάρια δὲ [610] εἰρήκασι διὰ τὸ παχὺ εἶναι αὐτὸ ὡς αἷμα · τὸ λοιπὸν ὄπτα σφοδροτέρως ἡμέρας β' ἢ γ', καὶ κατενέγκας, ἔκχεε εἰς τὸ τοῦ φαρμάκου λείψανον ἐν ἑκάστῳ, καὶ γίνεται ἰός. Περὶ τούτου ἔλεγεν ὁ Πηβίχιος [611] · « Διαμερίσατε τὸ φάρμακον εἰς μέρη δύο, καὶ τὸ ἥμισυ ἔχετε ἐν [612] ὀστρακίνῳ ἀγγείῳ, τὸ δὲ ἕτερον εἰς χαλκοῦν. » Τοῦτο αἰνιττόμενος δι' ἑνὸς, ἀπὸ μέν [τοι] τοῦ ὀστρακίνου τὴν ὄπτησιν, ἀπὸ δὲ τοῦ χαλκοῦ τὴν

595. F. l. ταὐτὰ.
596. προεισοδίου B etc. ὕδωρ θεῖον (en signes) M ; πρὸ ὕδατος τοῦ θείου Lb.
597. θείου ἀθ.] en signe MBAK ; τοῦ θείου Lb.
598. ἀρσενίκων] signe de l'arsenic redoublé MBAKE ; τῶν ἀρσενίκων Lb.
599. M mg. : *nřm* (nostrum ?), d'une main du 16e siècle.
600. ποιῶν] ποιούμενον (ajouté) ποιὸν E ; καὶ ποιούμενον Lb.
601. προπαραδότου Lb seul.
602. ἀναλαμβάνον BAK ; ἀναλαμβανόμενον τὸν μ. Lb.
603. β' ἄπτει M.
604. χρῶμα τοιοῦτον BAK. χρῶμα τοιοῦτον λειοῦται καὶ β. Lb.
605. ὑπεξ. Lb.
606. Signe de θεῖον ἄθ. M. — προσβάλλεις BAK ; προσβάλῃς Lb.
607. καὶ οὕτως ὁμοῦ Lb.
608. διὰ πρήσματα M.
609. τὸ δὲ θεῖον Lb.
610. παχὺν M ; παχέα εἶναι αὐτὰ Lb. — τότε λοιπὸν B etc.
611. Πηβήχιος B etc.
612. καὶ τὸ μὲν ἓν (sur grattage) ἒχ. Lb seul

ἴωσιν. Προεῖπε δὲ καὶ τὴν λεύκωσιν ἀπὸ τοῦ εἰρηκέναι ἐν δαφνίνοις ξύλοις καίεσθαι τὸν χαλκὸν, τουτέστιν τὸ θεῖον ἄθικτον [613] τῷ ἔχοντι φύλλα δάφνης, ἵνα ἔχῃς εἰδέναι τὴν τῶν ἀρχαίων ἀρετὴν, πῶς φανερῶς πάντα εἰρήκασιν · δοκοῦντες πάντα κρῦψαι, φανερῶς [614] εἰρήκασι · « Πρῶτον ἐλαφροῖς φωσὶν, ἵνα συμπίῃ τὸ ὕδωρ τοῦ θείου [615] ἀθίκτου. » Περὶ ὧν φώτων ἡ Μαρία ἔλεγεν ἐκ προβάσεως τὰ φῶτα, [616] καὶ πάλιν ἐκ προσαγωγῆς τὸ πῦρ, ὅταν ἀρκούντως ποιῇ, προοδωτέρως, ἵνα σωθῇ ὁ νοῦς, ἐκ προβάσεως τὰ φῶτα. Ὁ δὲ καιρὸς ὁ θερινὸς, καὶ ἡ πορφύρα καιρὸν ἴδιον ἔχει διὰ τὰς λύσεις καὶ ψύξεις τὸ ἁλιστέον, [617] ὅ τι καὶ τὸ κόμμι δάκρυον αὐτομάτως προερχόμενον, ἀπὸ τῆς ἰδίας [618] φύσεως, θέρος. Ἤκουσα δέ τινων ὅτι ἐν παντὶ καιρῷ γίνεται ἡ ἡμῶν [619] ἐργασία, καὶ ἀμφιβάλλω. [620]

*
**

1.1.17 3. — 16. ΠΕΡΙ ΤΗΣ ΚΑΤΑ ΠΛΑΤΟΣ ΕΚΔΟΣΕΩΣ ΤΟ ΕΡΓΟΝ. [621]

Transcrit sur M, f. 145 v. — *Collationné sur* B, f. 126 r. ;— *sur* A, f. 118 r. ;— *sur* K, f. 21 v. (*suite* f. 113 v.) ;— *sur* E, f. 51 r. ;— *sur* Lb (*copie de* E), p. 187. — *Les variantes et restitutions de* M, *par rapport à* BAK, *ont été reportées en marge de* K. — *Chap.* 39 *de la compilation du Chrétien dans* E Lb.

1. Καὶ ταῦτα μὲν οὕτως πρὸς τοὺς Αἰγυπτίους προφήτας ὁ (f. 146 r.) Δημόκριτος γράφει. « Ἐγὼ δὲ πρὸς σὲ, ὦ Φιλάρετε, πρὸς ὃν ἡ δύναμις, τὴν κατὰ πλάτος σοι γράφω τέχνην. Ὁ μὲν τῶν εἰδῶν κατάλογος οὕτως ἔχει. Ὑδράργυρος ἡ ἀπὸ κινναβάρεως, [622] μαγνησία, καὶ στίμμι κοπτικὸν, χαλκηδόνιον, ἰταλικὸν, λιθάργυρος, ψιμμίθιον, μόλυβδος, κασσίτερος, σίδηρος, χαλκὸς, χρυσόκολλα κλαυδιανὸν, καδμεία, πυρίτης, ἀνδροδάμας, θεῖον ἄθικτον, ἀρσένικον, σανδαράχη, κιννάβαρις.

2. Ταῦτα τὰ εἴδη ἐπίκοινα εἰς χρυσὸν καὶ ἄργυρον · λευκαινόμενα γὰρ λευκαίνουσι, καὶ ξανθούμενα ξανθοῦσιν. Τὰ οὖν λευκαίνοντα αὐτὰ ταῦτα · γῆ χεία, καὶ ἀστερίτης, γῆ σαμία, γῆ κιμωλία, καὶ ἀφροσέληνον.

613. τὸ θεῖον ἄθικτον (en signe) M ; τῷ et le même signe B etc. sauf Lb, qui écrit θείῳ en toutes lettres.
614. δοκοῦντες τισὶν ἅπαντα κρ. B etc. — M mg. : *nota* (main du 16ᵉ siècle).
615. δεῖ δὲ πρῶτον Lb
616. προσβάσεως M
617. ψύξεις, τοῦ ἁλιστέου Lb.
618. τὸ κόμμι ἐστὶ δάκρυον Lb.
619. κατὰ τὸ θέρος Lb. — τινων οἳ λέγουσιν Lb.
620. A mg. : Βλέπε ἔμπροσθεν εἰς φύλλ ` κβ ´ τὴν ῥῆσιν τοῦ λόγου ὅπου τὸ σημεῖον τοῦτο, puis un signe de renvoi, reproduit en rouge 21 ff. plus loin (f. 139 r.) en regard des mots : Καὶ ὁ Ζώσιμος ... ἀμφιβαλλόμενος (3, 29, 21).
621. Pas de titre dans B ; titre dans AKELb : περὶ τῆς κατὰ πλάτος ἐκδ. τοῦ λόγου πρὸς Φιλάρετον.
622. εἰδῶν] ἰδίων corrigé par une main assez récente M.

3. Τὰ δὲ λειούμενα, αὐτὰ · θεῖον ἄθικτον, ἅλας καππαδοκικὸν,[623] ἅλες παντοῖοι, ἁλὸς ἄνθη, τίτανος, ὃς προσκέκληται ὀπὸς συκαμίνου,[624] συκῆς, στυπτηρία σχιστὴ, μύσι, χάλκανθος, φύλλα περσέας,[625] φύλλα δάφνης.

4. Τὰ δὲ ξανθοῦντα, ταῦτα · γῆ ποντικὴ, ὅ ἐστιν ὀπτὴ, γῆ ἀττικὴ,[626] ὅ ἐστιν ὁ κυανὸς, καὶ ἡ κυανὸς ἡ ἐπὶ τῶν δύο βαφῶν ἐπίκοινος · καὶ[627] ἐν βοτάναις, κικίδιον, καὶ κνηκάνθιον, ἐλύδριον καὶ οἰχούμενον[628] · καὶ ἐν ὀποῖς, κόμμι · Ἔλεγεν δὲ ἀντὶ τοῦ κόμμεως, εἰς γὰρ τὸ λευκὸν σύνθεμα τοὺς ὀποὺς βάλλουσι.

5. Φανερὰ δὲ ἔστω τὰ τῇ ἰώσει ὕστερον συλλειούμενα καὶ ὧδε ἁρμῶσαι ἡ μαρτυρία ἡ λέγουσα ὅτι τὰ ἀνούσια σώματα καλῶς ἐνεργοῦσιν[629] χωρὶς πυρός. Τινὲς βούλονται δεύτερον καὶ τρίτον ἐν τῇ ἰώσει βαλεῖν βοτάνας, ἄνθος ἀναγαλλίδος, καὶ ῥὰ, καὶ τὰ ὅμοια · καὶ κρόκον τινὲς χρῶνται καὶ ῥίζαν μανδραγόρου τὴν τὰ σφαιρία ἔχουσαν.[630] Ἐγὼ δὲ προσθήσω ὅτι χωρὶς αὐτῆς οὐδὲν βάπτεται · καὶ ταύτῃ πάντα συλλειοῦται ἐν τῇ ἰώσει μετὰ κόμμεως. Ἐμνημόνευσαν δὲ[631] πάντες ὅτι οὐ δεῖ εἰς τοῦτο τὸ ὕδωρ ζύμην καταφθείρειν · καὶ[632] ὁμοιοῦται τῷ μέλλοντι βάπτεσθαι σώματι.

6. Ἐὰν ἀργύρεον μέλλῃς βάπτειν, ἀργύρου πέταλον συνσήπειν[633] · ἐὰν δὲ χρυσοῦν, χρυσοῦ πέταλον συνσήπειν · ὁ γὰρ σῖτος σῖτον[634] γεν- (f. 146 v.) νᾷ, καὶ ὁ λέων λέοντα, καὶ χρυσὸς χρυσόν.[635] Ἐπίβαλλε γὰρ, φησὶν, ἄργυρον κοινὸν, καὶ βάπτεις. Ὁ γὰρ εἷς ζωμὸς κατὰ τῶν ἀμφοτέρων σήπειν κατηγορεῖται · ὅτι τοιοῦτος λόγος ἐν τῷ παρόντι περὶ τῆς τοῦ φαρμάκου βαφῆς · τὸ γὰρ θεῖον ὕδωρ σκευασθὲν κατὰ ἀλήθειαν, καὶ τὸ καλῶς συγκραθὲν τὰ φάρμακα βάπτει, καὶ ὅταν[636] βαφῇ τὸ φάρμακον, τότε καὶ αὐτὸ βάπτει. Διὰ τοῦτο ζύμας καὶ προζύμια καὶ ὀξυζύμια, καὶ χρυσοζύμια, καὶ ὅσα κέκρυπται · ἐν δὲ[637] πᾶσι τὸ πᾶν εὑρίσκεται τοῖς νοοῦσιν.

7. Ἰδοὺ οὖν τὰ δʹ σώματα πυρίμαχα, ὑπόστατα, τουτέστιν τὸ[638] ὕστερον σύνθεμα, οὗ καὶ αὐτοῦ συντεθέντος, παραλαμβάνομεν μέρος ἓν, ἐπιβάλλοντες ὕδωρ θεῖον ὁμοῦ, ἕως γένηται τὸ χρῶμα καὶ ὁ τόνος τοῦ ὁμοίου κατὰ Μαρίαν.

---

623. F. l. ταῦτα. — θεῖον ἄθικτον en signe M. F. l. θεῖον.

624. ἅλας παντοῖον, ἁλὸς ἄνθος B etc.

625. μίσυ Lb, mel. — ὀπὸς] dernier mot du f. 21 de K; la suite est au f. 113; le f. 22 doit être lu après le f. 115.

626. ὀπὴ M.

627. ὁ κυανὸς] signe de κυανὸς dans MBAKE; χαλκὸς en toutes lettres Lb. — Le bleu mâle et femelle. (*M. B.*) Cp. l'Introduction de M. Berthelot, p. 245.

628. χιμένιον BAK; χυμένιον Lb. Cp. 2, 1, 18, texte et traduction.

629. ἁρμόσαι BE; ἁρμόγαι AK; ἁρμόσει Lc, f. mel.

630. τινὲς δὲ χρ. καὶ ῥίζῃ μ. τῇ τὰς σφαίρας ἐχούσῃ. — τὰς σφαίρας AK; ἔχουσιν A; ἔχουσιν (α sur ι) K.

631. M mg : σῇ (main du 16e siècle).

632. F. l. καταφέρειν.

633. ἐὰν — συνσήπειν om. B etc.

634. συσσήπτειν et plus loin σήπτειν BAK. — δεῖ συσσήπειν Lb.

635. καὶ ὁ χρυσὸς χρυσὸν B etc.

636. κακῶς M. Corr. d'après ELb.

637. ἐν δὲ (γὰρ Lb) — νοοῦσι] E aj. cette phrase en marge, et Lb la transporte après Μαρίαν (p. suiv., l. 1).

638. ὑποστατὰ mss. ici et plus loin, comme p. 148. — M mg. : ὧδε ἀληθὲς (main du 16e siècle).

Ἐπειδὴ οὖν κατείληπται τὸ ὕστερον σύνθεμα τὰ ὑπόστατα δʹ σώματα, οἷς οὐ μόνον τὸ σύνθεμα τοῦ χρυσοζυμίου, ἀλλὰ καὶ τὸ σύνθεμα ἐπιβάλλει τοῦ ὕδατος τοῦ θείου [639] · ἐπιβάλλειν γὰρ δεῖ τὰ προδεχθέντα, σίδηρον, ἢ κασσίτερον, [640] ἢ μόλυβδον, ἢ χαλκὸν, καὶ τὰ ἑξῆς, πάντα τούτοις ἐπιβάλλεται. Ἄκουε αὐτοῦ λέγοντος ἐν τῷ κεφαλαίῳ τῶν δύο συνθεμάτων · « Ἐὰν εἰς σίδηρον προβαλών · ἐὰν εἰς χαλκὸν, προεξιοῖ · ἐὰν εἰς μόλυβδον, [641] ποιεῖ ἄρρευστον, ἄτριστον, τὸν κασσίτερον προεργάζου, [642] καὶ οὕτως ἐπίβαλλε, φησὶν, καὶ οὐ μὴ σφάλῃς, τουτέστιν προλεύκαναι.

8. Περὶ δὲ ἐξιώσεως καὶ χαλκοῦ διαλάβωμεν · πάντα τὰ τοιαῦτα εἴδη ἔχουσιν φύλλα περσέας καὶ δάφνης, καὶ γαῖ λευκαὶ, καὶ σύκαμίνου καὶ συκῆς καὶ τιθυμάλλου ὀπὸς, καὶ νίτρον πυρρὸν καὶ ἅλας [643] καππαδοκικὸν, καὶ τὰ ὅμοια · εἰς τοῦτον, φησὶν, τὸν ζωμὸν καθίενται αἱ λεπίδες τοῦ χαλκοῦ ἡμέρας ιεʹ, καὶ εὑρήσεις ἐξιωθέντα, τουτέστιν [644] λευκανθέντα. Αὕτη οὖν ἡ σύνθεσις τοῦ ζωμοῦ λευκοῦ θείου. Ἐν τῇ [645] ὑστέρᾳ < τάξει > τῶν ζωμῶν ὁ φιλόσοφος ἐξέδωκεν. Εἰ τοίνυν λευκὸν θεῖον, ἄρα (f. 147 r.) τὸν χαλκὸν λευκαίνει ; θεῖον γὰρ ξανθὸν οἰκονομήσας ὁ χαλκὸς διὰ χαλκάνθου καὶ σώρεως, καὶ ἐπιβαλὼν χαλκὸν, ξανθώσας αὐτὸν, τοῦτον τὸν χαλκὸν ἅμα τῷ θείῳ ἀποτίθεται [646] εἰς ὄξος, καὶ τὰ ἑξῆς, ἵνα ἰωθῇ. Καὶ γάρ φησιν χάλκανθον ποιεῖν τὸ χρυσὸν ἴνιον · εἰ δὲ χάλκανθος τῷ θείῳ, τῷ πυρίτῃ συνελειώθη μετὰ [647] σώρεως, τὸ δὲ θεῖον τὸ ξανθὸν, ἔν τε τούτῳ τῷ ξανθῷ · ἐὰν ἐαθῇ [648] κάτω ἵνα ἐσθίῃ · ἤγουν τὸ θεῖον τὸ ξανθόν.

9. Καὶ τί ἄρα ἐξίωσις ἢ ξάνθωσις ; ἐξίωσις οὖν καὶ ξάνθωσις χρώματι μόνον διενηνόχασιν ἀλλήλων · ἤγουν τὸ ἐξίωσις θείου λεύκωσις, [649] ἡ δὲ ἴωσις, ξάνθωσις. Φέρε καὶ τὰ ἄλλα < ἃ > εἶπεν · ἐὰν εἰς σίδηρον προμάλαξιν ποιήσας τὸν σίδηρον λεπίδας λεπτὰς, ἐπίστρωσον γῆν σαμίαν, καὶ στυπτηρίαν σχιστὴν διπλώσας, ἔλασον, καὶ ἔσται [650] μαλακὸς καὶ λευκός. Τὰ δὲ τοιαῦτα εἴδη μέρη εἰσὶν τοῦ λευκοῦ θείου. Ὁ Ἑρμῆς μάλαξιν προθέμενος, ὕστερον ἔλεγεν · « Καὶ λευκανθήσεται. » Διὰ τοῦτο ὁ φιλόσοφος ἔλεγεν · « Ἐπίβαλε τοῦ λευκοῦ φαρμάκου τὸ ἥμισυ, καὶ ἔσται πρῶτον τοῦτο τοῦ λευκοῦ θείου. »

10. Φέρε καὶ τὸ τί ἀτριστώσῃς ζητήσωμεν · Ὁ φιλόσοφος [651] · « Λαβὼν μόλυβδον λευκὸν τὸν γενόμενον ἄρρευστον διὰ γῆς χείας, [652] καὶ στυπτηρίας σχιστῆς. »

---

639. χρυσοζωμίου Lb.
640. δεῖ] χρὴ B etc. — προλεχθέντα B etc.
641. προσβάλῃς, ἐξιοῖ · ἐὰν ... Lb.
642. ἄτρυτον B etc. F. l. ἄτρητον. (Cp. ci-dessus, p. 45, l. 26).
643. τηθυμ. M. — πυρὸν M.
644. καὶ εὑρ. ἅπαντα ἐξ. Lb.
645. ἦν ἐν τῇ ὑστ. Lb, f. mel.
646. ξανθώσι A ; ξανθώσεις Lb.
647. χρυσὸν ἴνιον] χρυσάνθιον B Lb. — τὸ puis le signe de πυρίτης M ; om. B etc.
648. τε] δὲ Lb. — ἐὰν ἐαθῇ] ἐάσεις Lb.
649. μόνω BAK.
650. διπλ. ἔλασον] καὶ διπλ. ἄλλασσεν Lb.
651. ἀτριστώσῃς] ἀτρυτώσεις B ; ἀτρυτόσει AK ; ἀτρυπτώσεις corrigé en ἀτρυττώσει E ; ἀτρύτωσις Lb. (Variantes analogues plus loin.)
652. γενάμενον M, ici et presque partout.

Τὰ δὲ εἴδη ταῦτα μέρη εἰσὶ τοῦ λευκοῦ θείου. Τὸ δὲ λευκὸν θεῖον, λευκαινόμενον, λευκαίνει. Δημόκριτος δέ · « Ἐπειδ' ἂν ἐξιώσης, καὶ μαλάξης, καὶ ἀτριστώσης, καὶ ἀρρευστώσης, ἢ λευκώσης. » Ἡ δὲ λεύκωσις ἐκ τοῦ λευκοῦ θείου. Ὅρα τὸν φιλόσοφον περὶ τούτου τοῦ θείου τοῦ λευκοῦ ἐκβακχεύοντα · « Ἐὰν γὰρ, φησὶν, γένηται τὸ φάρμακον μαρμάρῳ παρεμφερὲς, μέγα ἐστὶ μυστήριον · τὸν γὰρ χαλκὸν λευκαίνει, τουτέστιν ἐξιοῖ, μαλάσσει τὸν σίδηρον, ἄτριστον ποιεῖ τὸν κασσίτερον, ἄρρευστον τὸν μολυβδον,[653] ἀρρήκτους τὰς οὐσίας, ἀφεύκτους τὰς βαφάς. Αὗται αἱ βαφαὶ τὰ εἴδη ἀπὸ ὑδραργύρου ἕως χρυσοκόλλης καλούμενα χρυσάνθιον[654] · εἰκότως εἴρηται παρά τινων τοῦτο τὸ θεῖον διὰ πάντων. Στέφανος (f. 147 v.) γὰρ, ὅταν ἔλεγεν · « Ἀρρήκτους τὰς οὐσίας, » τὰ τέσσαρα σώματα ἔλεγεν · ἄλλοι δὲ · « τοῦτο τὸ θεῖον ὕδωρ τὸ κατὰ πάντα μέγα μυστήριον, τὸ γενόμενον μαρμάρῳ παρεμφερὲς,[655] τὸ λευκαῖνον πᾶσαν οὐσίαν, τὸ λευκαῖνον τὸ σῶμα τῆς μολυβδοχάλκου[656] · τοῦτό ἐστιν ὁ τῶν κωβαθίων καπνός. Τοῦτο ὁ τὰς βαφὰς[657] ἀρρήκτους τηρῶν, τοῦτο ὁ τὰς οὐσίας ἀρρήκτους διατηρῶν. Τὸ δὲ[658] ἀρρήκτους ἐὰν ἀκούσης, οὐχ ἵνα ἐλαιούμεναι αἱ οὐσίαι μὴ ῥαγῶσιν,[659] ἀλλ' ἵνα μὴ ἀπορρήξωσι τὰ εἰωθότα τε τῷ πυρὶ ἀφαντοῦσθαι ἀπὸ νεφέλης ἕως χρυσοκόλλης, ὅτι βαφὰς βούλεται αὐτὰς εἶναι. Ἄκουε αὐτοῦ λέγοντος περὶ αὐτῶν · « Ἐπιβάλλειν οὖν δεῖ σίδηρον,[660] ἢ χαλκὸν, ἢ κασσίτερον, ἢ μόλυβδον. » Τοίνυν ταύτας βαφὰς καλεῖ · τὰ δὲ βαπτόμενα δ' σώματα ἅτινα βαφέντα βάπτουσιν[661] · τὸ δὲ βάπτον τὰς βαφὰς καὶ τὰ βαπτόμενα ὕδατα θείου, τὸ μέγα[662] μυστήριον, τὸ μαρμάρῳ παρεμφερὲς, τὸ τὰ πάντα ποιοῦν ἐπιτήδεια, τὸ καῖον τὸν χαλκὸν καὶ λευκαῖνον, τὸ τὴν ὑδράργυρον πηγνύον, τὸ ἐξιοῦν · τοῦτό ἐστι τὸ τῆς ὅλης τέχνης μέγα μυστήριον · τὸ γὰρ ξανθὸν ὕδωρ ἐμφανὲς μυστήριον.

11. Ἐπίβαλε λοιπὸν καὶ κόμμι μικρὸν, καὶ πᾶν σῶμα βάπτεις[663] · τοῦτο αἴτιον . καύσεως, λευκώσεως, ξανθώσεως, ὑδραργύρου πήξεως,[664] ἰώσεως · τοίνυν ὅταν λέγῃ « ἀρρήκτους τὰς οὐσίας, » περὶ τοῦ ἀπορρηγνύναι τὰς οὐσίας, τὰ εἴδη τὰ φευκτὰ λέγει. Τοῦτο δὲ τὸ[665] λευκὸν θεῖον ἀνακεφαλαιοῦται ἐν τοῖς δυσὶ συνθέμασι. Λέγει γάρ · « Ἐὰν εἰς σίδηρον, προμαλάσσει, » καὶ τὰ ἑξῆς, τουτέστιν πάντα

653. ἄτριστον] ἄτρυτον B etc.

654. ὑδραργύρου] signe du mercure M ; signe de l'argent BAKE (E ajoute ἔχουσι) ; ἀρύρου en toutes lettres Lb. — καλούμενον BAK ; κολλώμενον δὲ χρ. Lb. F. l. καλοῦμεν.

655. μέγα μυστ. καλοῦσι Lb.

656. μολυβδοχ.] signe du molybdochalque M ; signe de la magnésie B etc., f. mel.

657. κοβαφίων M. — M mg. : ὕδ. θείου ἀπύρου (avec renvoi à κοβαφίων), main du 15e siècle (celle de Bessarion ?) — τοῦτό ἐστι τὸ τ. β. ποιοῦν Lb.

658. F. l. τὰς βαφὰς ἀφεύκτους. — ἀρρήκτους διατηρῶν om. B etc.

659. ἐλεούμεναι M.

660. A mg. : σῆσαι. — ἐπίβαλε οὖν σιδήρῳ etc. (datif partout) Lb ; simple signe dans les autres mss.

661. M mg. : τὸ ὅλον τῶν ἀληθῶν (?) avec renvoi à βάπτουσιν, au moyen du signe zodiacal de la Vierge ♍(main du 15e siècle).

662. βαπτόμενα καὶ τῆι υδ puis le signe du θεῖον ἄθικτον M (καὶ et ῆι d'une écriture plus récente ; βαπτόμενα ὕδωρ θεῖόν ἐστι Lb. F. l. ὕδωρ θείου.

663. καὶ πᾶν] καὶ om. M.

664. F. l. ὑδραργυροπήξεως.

665. M mg. : ἀπορρηγνύντας. — τὰς om. M.

προλεύκαναι, καθὼς ἀποδέδεικται · ὅταν ἐξιώσῃς καὶ μαλάξῃς καὶ ἀτριστώσῃς καὶ ἀρρευστώσῃς, τουτέστιν λευκάνῃς τὸ πᾶν, τὰ τεσσαρα [666] σώματα ὑπόστατα · αὕτη γὰρ ἡ ἀρχὴ κατὰ μίαν τάξιν τὸ [667] λευκάναι. Ἡ δὲ λεύκωσις ἐκ θείου λευκοῦ · ὁ δὲ τῶν λευκῶν θείων [668] σταθμὸς ἐν (f. 148 r.) τῇ ὑστέρᾳ < τάξει > τῶν λευκῶν ζωμῶν κεῖται, ἔχων τὸ ἀρσενίκου χρυσίζοντος γ° α', καὶ νίτρου καὶ τῶν ὁμοίων, [669] καὶ φλοιῶν φύλλων περσέας καὶ δάφνης γ° α', καὶ συκαμίνου χυλοῦ, [670] καὶ ἅλατος, καὶ τὰ ἑξῆς. Πάντα πρὸς ἀνάλογον τοῦ οὐγκιασμοῦ δεῖ [671] σε προσπλέξαι. Ἡ γὰρ ὑδράργυρος κατὰ τῶν δύο συνθεμάτων τὰ [672] πάντα μέλλουσα ἀναλαμβάνειν ἤτοι μαλαγματίζειν, περὶ ἧς καὶ ἐν [673] τῷ περὶ κινναβάρεως μηνύσω. Εἰ μὲν οὖν ἀναλήψεται, δεῖ μὴ ᾠῶν [674] λευκοῖς καὶ ὑγρῷ κομμίῳ λευκῷ λειοῦσθαι μετὰ τῶν δύο συνθεμάτων. [675] Ἐν γὰρ τούτοις εἴωθεν ἡ ὑδράργυρος μολύνειν καὶ ἀναλαμβάνειν, [676] καὶ πάντα μαλαγματίζειν, περὶ ὧν ἐν τοῖς μολυβδοχάλκοις προσεφώνησα.

12. Τινὲς δὲ ὕδωρ θεῖον ἐλείωσαν παχύτερον ποιήσαντες, καὶ ἀνέλαβον τὰ συνθέματα τὴν ὑδράργυρον. Καὶ γὰρ τὸ λευκὸν σύνθεμα [677] καὶ ᾠὰ ἔχει καὶ κόμμι. Ἄλλοι ἐν τρούλλῳ μεγάλῳ ὑελίνῳ [678] περιπηλώσαντες, ἔβαλλον τὰ πάντα καὶ ἀσθενεῖ πυρὶ ὤπτησαν, ἐπιβάλλοντες ὕδωρ θεῖον, ἐψήσαντες ὡς τὴν πορφύραν. Δεῖ δὲ προσέχειν ἐν τῇ μεταβολῇ, πῶς ἐκ θαλάττης οὖσα καὶ ἐκλύσματος, [679] εἰς πορφύραν μετατρέπεται ἀληθινήν. Ἐντεῦθεν καὶ ὁ φιλόσοφος · « Τὸ γὰρ ψιμύθιον ἄλλην ἔχει δύναμιν παρὰ τὸ ἔλκυσμα, τουτέστι παρὰ τὸ χρυσίζον, ἢ πορφυρίζον, παρὰ τὸ λευκὸν ἢ ἀργυρῶδες. » Τὸ δὲ αὐτὸ σύνθεμα λειωθὲν ἕξει καὶ τὰς ἐνεργείας · τὰ ὅλα ἐκ μιᾶς, φησὶν, ὕλης τοῦ μολύβδου · ὁ δὲ χαλκὸς οἶδας λοιπὸν ὡς ὅλον σύνθετον · ὅθεν ἐν τῷ ἑλκύσματι μεταβολὴν ὠνόμασεν αὐτῷ ἐν ὑποδείγμασιν · ἐψήσαντες [680] γὰρ ὕδωρ θεῖον · τῷ γὰρ « ἐψήσαντες » χρῶμα ἀνέδειξαν · καὶ οὐ μόνον [681] ἥνωσαν τὴν ὑδράργυρον, ἀλλὰ καὶ ἐλεύκαναν καὶ ἐξάνθωσαν τὸ σύνθεμα ἐψοῦντες λεπτῷ πυρί, καὶ οὐκ ἐῶντες καπνὸν διὰ τοῦ τρούλλου ἀναδοθῆναι. Μετ' αὐτοῦ γὰρ (f. 148 v.) τὸ πνεῦμα τὸ βαπτικὸν συναφίσταται. Ἑψοῦσι δὲ ἕως ἂν ἀραιώσῃ τὸ χρῶμα, οἱ μὲν ὥρας θ', [682] οἱ δὲ ἡμέρας. Ὅταν δὲ οὕτως γένηται,

666. ἀτριστώσῃς] ἀτρυτώσῃς B etc. — τὸ πᾶν] τουτέστι E ; om. Lb. — F. l. τὸ πᾶν, τουτέστι ...
667. τὸ] τοῦ Lb, f. mel.
668. F. l. τοῦ λευκοῦ θείου.
669. τὸ] F. l. τοῦ.
670. καὶ φλ. κ. φ. Lb.
671. ὀγκιασμοῦ M.
672. προσεπιπλέξαι Lb.
673. μέλλει Lb.
674. κινναβάρεως] signe lunaire couché BAKE ; ἀργύρου Lb ; K mg. et E mg. (d'après K ?) : signe du cinabre. — Réd. de Lb. : ... ἀναλήψεται, καλῶς ἔχει, εἰ δὲ μή, ᾠῶν λευκοῖς.
675. καὶ λευκῷ ὑδραργύρῳ συλλειοῦσθαι μετὰ τῶν τοιούτων συνθημάτων B etc.
676. ὑδράργυρος] ἄργυρος BAK ; τὸν ἄργυρον Lb.
677. τά συνθήματα μετὰ τῶν συνθημάτων B etc. — M mg. : ὧδε (en lettres retournées).
678. κόμμι] κόμεως M.
679. ἐκλύσματος et en surcharge à l'encre noire : ἑλκύσματος M ; ἐκ κλύσματος B ; ἐκκλείσματος AK ; καὶ κλύσματος ELb.
680. ὠνόμασαν B etc. — αὐτὸ BAK ; αὐτὸν Lb. — ὑποδείγματι B etc.
681. τῷ] τὸ mss. Corr. conj. — καὶ οὐ θείῳ μόνον Lb. — M mg. : abréviation probable de χρῶμα.
682. θ'] δώδεκα Lb.

περισκεπάζουσιν τὸν τρούλλον φιάλη,[683] καὶ τιθέασιν ἐν κηροτακίδι ἢ ἐν βωταρίῳ, ἐπάνω τῆς καμίνου, καὶ καίουσι τὴν κάμινον ἐκ προβάσεως ἡμέραν α′, ἄλλοι δύο · καὶ[684] θεωροῦσι διὰ τῆς φιάλης πότε γίνεται ψιμμύθιον, καὶ κατασπῶσιν ὑπόφιμον.

13. Τινὲς χρόνον ποιοῦσι, καὶ τὸ μέσον τρήσαντες εὑρίσκουσιν[685] ὑποκάτω μόνα τῆς σκωρίας ἄνω ὑπολειφθείσης · εἰς γὰρ τὸ δίχρωμον[686] ἡ σκωρία μετὰ τοῦ μολύβδου εὑρίσκεται · καὶ ἀποτινάξαντες τὴν σκωρίαν, ἔχουσι τὸ σῶμα · τοῦτον τὸν λίθον λειοῦσιν ἐν ἡλίῳ ἕως λευκανθῇ, σὺν τούτῳ στήσαντες ὑδραργύρου τὸ ἥμισυ τοῦ σταθμοῦ καὶ θεῖον πρὸς τὸ ὑπερέχειν, καὶ κόμμι λευκὸν, πήσσουσιν ἐν θερμοσποδιᾷ[687] ἡμέραν ὅλην, ἕως τὸ ὕδωρ τοῦ θείου, πρὸς ὃ ἀναξηραίνει[688] · προσβάλλουσιν ὕδωρ θεῖον · καὶ ὅτε τὸ πᾶν ὕδωρ ἀναλωθῇ,[689] μεταβαλόντες ὀπτοῦσιν βούκλας ἡμέραν μίαν εἰλικτῇ, καὶ εὑρίσκουσι ψιμύθιον.[690] Τοῦτο ἔτι ζέον μεταβάλλουσιν εἰς θεῖον ἄπυρον, καὶ τὸ ὕδωρ τοῦ θείου, τὸ ἄλλο ἥμισυ τοῦ σταθμοῦ, καὶ ἐῶσι κάτω ἡμέρας,[691] ἕως οὗ ἰωθῇ.

14. Τινὲς καὶ εἰς ἱππείαν κόπρον χωννύουσιν τὰς αὐτὰς ἡμέρας ἐκεῖ[692] · τούτῳ ἐπιβάλλουσιν χαλκὸν προσλαβόν τι μετὰ τὴν βαφὴν τοῦ λευκοῦ σιδήρου, ἐὰν θέλωσι ποιῆσαι ἄργυρον · ἐὰν δὲ χρυσὸν, συλλειοῦσι[693] πάλιν ὑδράργυρον τὸ ἥμισυ τοῦ σταθμοῦ, καὶ θείου τὸ ἥμισυ, ξανθοῦ λέγω, καὶ ὕδωρ θείου ἀθίκτου καὶ κόμμεως · καὶ πήσσουσι, καθὼς καὶ τὸ πρῶτον, καὶ ὀπτῶσιν νυχθήμερα β′ · καὶ ἐξενέγκαντες ζέον, βάλλουσιν εἰς τὸ λείψανον τοῦ θείου καὶ ὕδωρ θείου · καὶ καίουσιν ἡμέρας, καὶ ἕως οὗ καιῶσι τοῦτο · ἐπιβάλλουσιν ἄργυρον κοινόν.[694]

15. Ἡ δὲ τοῦ λευκοῦ σκευὴ αὕτη · θεῖον, ἀρσένικον, σανδαράχη, κιννάβαρις, ἐξ ἰσότητος προτεταριχευμένα, ἅλατος καππαδοκικοῦ τὸ ἴσον, ἁλὸς ἄνθους, στυπτηρίας σχιστῆς, φέκλης ὀπτῆς, τιτάνου ὀπτοῦ, ἀφροσελήνου, μίσεως ὠμοῦ καὶ ὀπτοῦ, καὶ νίτρου καὶ ἁλὸς πρὸς (f. 149 r.) τὸ ἥμισυ ἑκάστου ἁλὶ θαλασσίῳ (?) ἐν ἡλίῳ ἡμέρας[695] ἀνίσους, ἕως γένηται ἄκαυστον. Ἔπειτα λύσον αὐτὰ ὕδατι θείῳ, ἕως ἀκαυστωθῇ, λευκῷ λέγω τῷ δι' ἀσβέστου ἀπολελυμένου · καὶ ποιήσας ἄκαυστον ἔχεις, ἐκ τούτου μίσγεις τῇ μνᾷ μνᾶν ἡμίσειαν, ὕδατος θείου τὸ ἀρκοῦν.

16. Τὸ δὲ ὕδωρ τοῦ θείου τὸ δι' ἀσβέστου οὕτω γίνεται. Πάντα τὰ ὕδατα τοῦ

683. ἡμέρας] νυχθήμερον (en signe) B ; νυχθ. α′ AKE Lb.

684. προσβάσεως M. — νυχθήμερον α′ B etc.

685. χρόνον] χ traversé verticalement par un ρ dans BAK ; ce signe et au-dessous : ὑάλῳ E ; Τινὲς δὲ ἐν ὑάλῳ π. Lb. (Les signes de χρόνος et de ὕελος [= extbfX] ont pu être confondus.) « ?? χρόνος, pour Κρόνος, plomb » (*M. B.*). — Signe attribué au κρόκος dans BA ; *Not. alch.*, pl. 5, l. 8 (*C. E. R.*)

686. ἄνωθεν τῆς νεφέλης B etc. — δίχρονον M.

687. καὶ ὕδωρ θεῖον BA ; καὶ ὕδατος θείου KELb.

688. πρὸς ὃ] F. l. πρόσω.

689. προσβάλλωσιν ὕδατι θείῳ Lb.

690. ἐν βούκλῃ ἑλικτῇ ἡμ. μίαν Lb.

691. ἡμέρας δύο Lb.

692. F. l. τοσαύτας.

693. λευκοῦ σιδήρου en signes M ; λευκοῦ λιθαργύρου Lb seul. F. l. τὸ Δ (= δον) σιδήρου. (même signe pour τέταρτος et pour λευκός.) — Cp. p. 153, l. 17.

694. ἡμέρας δύο Lb. — καὶ om. B etc.

695. M, à la marge inf. : κατάβασιν : κατάσπασιν (main du 15e siècle). — ἁλὶ suivi du signe de l'eau de mer (f. l. θαλασσίων ὑδάτων, *M. B.*). — ἡλίῳ] signe du soleil, M, devenu un θ dans E ; ἐν ἐννέα ἡμέραις ἀνίσοις Lb seul.

καταλόγου ἐξ ἴσου συμμίξας, πρόσβαλε γᾶς λευκὰς, [696] ἵνα σφοδρὸν λευκὸν γένηται · καὶ βαλὼν ἐν χύτρᾳ, ἐπίθες τὸ ὄργανον ὑποκαίων, καὶ λάμβανε τὸ στάζον · ἐκ τούτου χρῶ εἰς τὴν λείωσιν τοῦ θείου καὶ εἰς τὴν ἕψησιν τοῦ συνθέματος.

17. Τὸ δὲ ξανθὸν θεῖον οὕτω ποίησον. Θείου, ἀρσενίκου, σανδαράχης, [697] κιννάβαρεως, σώρεως, χαλκάνθου, χαλκίτου, μίσεως, στυπτηρίας, νίτρου, ἅλατος, κυανοῦ ἀρμενίου · τοῦτο προταριχευθὲν [698] λείου ὄξει ἐν ἡλίῳ ἀνίσους ἡμέρας. Ἐκ τούτου τοῦ θείου βάλλεις [699] τῇ μνᾷ μνᾶν ἡμίσειαν.

18. Τὸ δὲ ὕδωρ τοῦ θείου τὸ ἄθικτον οὕτω γίνεται · τὰ δὲ ὕδατα τοῦ καταλόγου ἐξίσου · καὶ γῆ ποντικὴ καὶ ἀττικὴ καὶ ἀρμένιον καὶ [700] βοτάναι, δηλονότι τοῦ κρόκου καὶ ἐλυδρίου τὸ διπλοῦν · ἐπίθες εἰς χύτραν, καὶ ἑνώσας τὸ ὄργανον, λάμβανε τὸ ὕδωρ ἐκ τούτου καὶ τὸ θεῖον [701] ἀκαυστοῖς · καὶ ποτίζεις τὸ σύνθεμα μετὰ κόμμεως, καὶ ὑδραργύρου καὶ θείου ὕδατος, ὡς προεῖπον, πρὸς ἥμισυ · καὶ πήξας ἐν θερμοσποδιᾷ ἕως τὸ ὕδωρ ὅλον ἀναλωθῇ, ὄπτα ἡμέρας β′ ἢ γ′, ἕως ξανθήσῃ εἰς ὑπερβολήν [702] · καὶ ἐξενέγκας ἔτι ζέον, κατάβαπτε εἰς τὸ τοῦ φαρμάκου λείψανον, καὶ ἔα κάτω ἡμέρας ἀνίσους, ἕως ἰωθῇ. Καὶ οὕτω ξηράναντες [703] καὶ λείωσαντες, ἔχουσιν · ἐκ τούτου μίσγουσιν ἀργύρῳ κοινῷ, καὶ βάπτουσιν. Τινὲς δὲ ἰώσαντες καὶ εἰς ἱππείαν κόπρον χωννύουσιν.

19. Ἀποδέδεικται οὖν πάντα τὰ εἴδη κοινὰ ἅμα τοῖς ζωμοῖς, πλὴν < ὅτι > λευκαινόμενα, λευκαίνουσιν, καὶ ξανθούμενα, ξανθοῦσιν. Ἰστέον μὲν ὅτι μετὰ τὸ τελειωθῆναι τῷ συνθέματι συμμίσγεις · τάχα οὐ [704] τοῦτο τὸ βαπτικώτερον, περὶ οὗ θείου οὐδεὶς ἀπεσιώπησεν. Μάλιστα ὁ (f. 149 v.) Ἀγαθοδαίμων ἔλεγεν · « Λάμβανε θεῖον ποτὲ μὲν [705] λευκὴν, καὶ ἄλλοτε ξανθὴν, καὶ ἄλλοτε μέλαιναν, καὶ ἄλλοτε λευκὴν [706] ἀμετάτρεπτον, καὶ ἄλλοτε ξανθὴν ἀμετάτρεπτον. » Ἀποδέδεικται οὖν, ὡς εἴρηται, πάντα τὰ εἴδη κοινὰ ἅμα τοῖς ζωμοῖς, πλὴν ὅτι λευκαινόμενα, λευκαίνουσι, καὶ ξανθούμενα, ξανθοῦσιν.

✳
✳✳

696. μίξας B etc.
697. θείου] Λάβε τὸ ἴσον θείου Lb. — ἀρσ., σανδαρ.] en signe dans M ; signe de l'arsenic redoublé BAKE ; ἀρσενικοῦ ἑκατέρου Lb.
698. ἀρμενείου M, et plus loin ἀρμένειον ; ἀρμενικοῦ B etc. ; κυανοῦ, ἀρμ. Lb.
699. ἐν ὄξι ἐν ἐννέα ἡμέραις ἀνίσοις Lb seul. — βάλλεις] μίσγεις E ; βαλεῖς Lb.
700. ἐξ ἴσου γίνεται · λάμβανε γῆν etc. (accusatifs) Lb. — καὶ] τοῦ Lb.
701. τὸ ὕδωρ αὐτοῦ < ἕως > οὗ τὸ θεῖον B etc.
702. ἀναδοθῇ B etc. — ξανθήσει M ; γένηται ξανθὸν B etc.
703. ξηράνας κ. λειώσας ἔχεις Lb. — Lb seul omet la suite jusqu'à βάπτουσιν.
704. Réd. de Lb : μετὰ τὸ τελ. τὰ συνθήματα συμμιγέντα, τάχα τοῦ θείου τούτου τὸ βαπτ. ποιοῦσι, περὶ οὗ ...
705. Signe de θεῖον M ; om. B etc.
706. λευκὴν etc. (féminin partout). Il faudrait le neutre.

1.1.18 **3. — 17.** ΠΕΡΙ ΤΟΥ ΤΙ ΕΣΤΙΝ ΚΑΤΑ ΤΗΝ ΤΕΧΝΗΝ ΟΥΣΙΑ ΚΑΙ ΑΝΟΥΣΙΑ.[707]

Transcrit sur M, f. 149 v. — *Collationné sur* B, f. 132 v. ;— *sur* A, f. 122 r. ;— *sur* K, f. 115 v., *puis* 22 r. ;— *sur* E, f. 57 v. ;— *sur* Lb, p. 213. — *Les variantes de* M, *par rapport à* BAK, *ont été reportées en marge de* K. — *Chapitre* 40 *de la compilation du Chrétien dans* E Lb.

1. Οὐσίας ἐκάλεσεν ὁ Δημόκριτος τὰ τέσσαρα σώματα · χαλκὸν ἔλεγε καὶ σίδηρον καὶ κασσίτερον καὶ μόλυβδον. Πάντες ἐπιβάλλουσιν ἐν ταῖς δυσὶ βαφαῖς. Πᾶσαι αἱ οὐσίαι ἐν ταῖς δυσὶ βαφαῖς.[708] Πᾶσαι αἱ οὐσίαι κατεγνώσθησαν παρ' Αἰγυπτίοις ἀπὸ μόνου τοῦ μολύβδου πεποιημέναι · ἐκ γὰρ τοῦ μολύβδου καὶ τὰ ἄλλα τρία σώματα[709] γεγόνασιν. Οὐσίας οὖν ἐκάλεσεν τὰ σώματα τὰ ὑφιστάμενα πυρὶ, τὰ δὲ μὴ ὑφιστάμενα, ἀνούσια. Τὰ γὰρ ἀνούσια καλῶς ἐνεργοῦσι χωρὶς πυρός. Ἔλεγε γὰρ δι' ἄγγους καὶ πρίσματος γίνεσθαι,[710] τὸ δὲ ἀληθὲς λείψανον τοῦ φαρμάκου, χωρὶς πυρὸς, ἐκεῖ καὶ βεβαιώσει[711] λευκαίνωσι, ξανθῶσι. Ἡ γὰρ τοῦ πυρὸς [τίει] εἴσκρισις τοῦ φθαρτοῦ[712] φαρμάκου ἐκ τῶν φώτων διαμαρτάνει μολυβδοχάλκου ξάνθωσις · ὅτι[713] ὃν ἀναιρεῖ · ἐκεῖ δὲ οὐ δεῖ ἁμαρτῆσαι. Ὅτι δὲ ἐπὶ τούτου εἴρηκεν,[714] βλέπε πῶς αὐτὸς εἶπε · « Ποίησον γλοιῶδες · χρῖσον τοῦ φαρμάκου τὸ[715] ἥμισυ ὑποκαίεσθαι, καὶ καταβάπτεις τὸ τοῦ φαρμάκου λείψανον · ὅτε[716] χωρὶς πυρὸς μένειν εἰάθη.[717]

2. Καὶ ἀνούσια τὰ θειώδη τὰ μὴ ὑφιστάμενα τῷ πυρί · οἱ δὲ ζωμοὶ ποιοῦσιν αὐτὰ ὑφίστασθαι τῷ πυρὶ καὶ πυρομαχεῖν · ὕδωρ γὰρ[718] ἐναντίον πυρός. Διὰ τοῦτό φησιν. « Ἡ φύσις λαβοῦσα τὸ ἴδιον ὡς τοὐναντίον, ἰσχυρὰ καὶ ἀδίωκτος γίνεται, κρατοῦσα καὶ κρατουμένη. Διὰ τοῦτο οὖν ὡς ἴδιον μὲν καὶ αὐτὸ (f. 150 r.) θειῶδες ἀφ' οὗ[719] καὶ ὕδωρ θείου ἀθίκτου κέκληται · διατί καὶ τοὐναντίον, ἐπειδήπερ[720] τοὐναντίον ὕδωρ πυρός ; ἐπιρρέον γὰρ ὡς ὕδωρ οὐκ ἐᾷ ἐκεῖνα πυρώδη ὄντα ἐξηθαλῶσθαι καὶ φεύγειν · ἀλλὰ θάπτει αὐτὰ τῇ ὑγρότητι, καὶ κατέχει[721] ἕως βάπτωσιν. Καὶ ὕδωρ μὲν κατέρχεται διὰ τὸ ὑγρὸν εἶναι.[722] Διὰ τοῦτο γάρ φησιν · « Ἡ φύσις λαβοῦσα τὸ ἴδιον ὡς τοὐναντίον, » καὶ τὰ ἑξῆς. Ἐρρέθη πῶς ὑφίστανται τῷ πυρὶ διὰ τῶν ζωμῶν · οἱ δὲ ζωμοὶ ὕδωρ θεῖόν εἰσιν.

---

707. καὶ ἀνούσια] καὶ τίνα ἀνούσια B etc.
708. Πᾶσαι αἱ οὐσίαι ἐν τ. δ. — βαφαῖς om. B etc. F. del.
709. ἐκάλεσαν B etc.
710. πρίσματα M.
711. βεβαιώσει] F. l. βεβαίως.
712. τίει om. B etc. — εἰσκρίσεις M.
713. φθαρτικὴ τῷ φαρμάκῳ B etc. — διαμαρτάνη M.
714. ὅτι ὃν ἀν.] ἐπεὶ ἀναιρεῖ B etc.
715. γλυῶδες M. — Dernier mot du f. 115 de K ; la suite est au f. 22.
716. ὥστι ἀποκαίεσθαι Lb. — ὅτι K, f. mel.
717. ὅταν ... ἐαθῇ Lb. F. l. ὅτι ... εἰώθει.
718. περιμαχεῖν, corrigé en πυριμαχεῖν E ; ὑφ. καὶ πυριμαχεῖν Lb, f. mel.
719. M, à la marge supérieure du f. 150 r. : ἤγουν θερμου (?), d'une main du 15e siècle.
720. διότι Lb, f. mel.
721. θάπτει] βάπτειν AK θάπτει καὶ βάπτει E ; βάπτει Lb.
722. καὶ ὕδωρ θεῖον μὲν Lb. — τακέρχεται] F. l. κατέχεται.

*
**

1.1.19 3. — 18. ΠΕΡΙ ΤΟΥ ΟΤΙ ΠΑΝΤΑ ΠΕΡΙ ΜΙΑΣ ΒΑΦΗΣ Η ΤΕΧΝΗ ΛΕΛΑΛΗΚΕΝ.

Transcrit sur M, f. 150 r. — *Collationné sur* B, f. 133 v. ;— *sur* A, f. 122 v. ;— *sur* K, f. 22 r. ;— *sur* E, f. 58 v. ;— *sur* Lb, p. 217. — *Les variantes et restitutions de* M *ont été reportées en marge de* K. — *Chapitre* 41 *de la compilation du Chretien dans* E Lb.

1. Ἑρμῆς καὶ Δημόκριτος ἀπὸ τοῦ καταλόγου γινώσκονται ὅτι περ πάντα περὶ [ἑνὸς καὶ] μιᾶς βαφῆς εἰρήκασιν διὰ συντόμου,[723] καὶ οἱ ἄλλοι ᾐνίξαντο. Ἀμέλει γοῦν καὶ Ἀφρικανός φησι · « Τὰ ὑπάγοντα εἰς τὴν βαφὴν μέταλλα, καὶ ὑγρὰ καὶ γαῖ καὶ βοτάναι. » Χύμης δὲ καλῶς ἀπεφήνατο · « Ἓν γὰρ τὸ πᾶν · καὶ δι' αὐτοῦ τὸ πᾶν γέγονεν · ἓν τὸ πᾶν · καὶ εἰ μὴ πᾶν ἔχοι τὸ πᾶν, οὐ γέγονε τὸ[724] πᾶν · δεῖ σε οὖν τοῦτο βάλλειν τὸ πᾶν, ἵνα ποιήσῃς τὸ πᾶν. » Πηβίχιος διὰ τῶν τεσσάρων σωμάτων. Μαρία διὰ τοῦ πετάλου[725] τῆς κηροτακίδος. Ἀγαθοδαίμων · « Μετὰ τὴν τοῦ χαλκοῦ ἐξίωσίν τε καὶ ἐξίσχνωσιν καὶ μέλανσιν, εἶτα λεύκωσιν, τότε ἔσται βεβαία ξάνθωσις. » Ὁμοίως καὶ τὰ ἄλλα πάντα παρ' αὐτοῖς φημιζόμενα.

2. Ὅταν οὖν λέγῃ Μαρία περὶ τοῦ αὐτοῦ, φησί · « Πολλὰ γὰρ[726] ἔχει σώματα ἀπὸ μολύβδου ἕως χαλκοῦ. » Ὅταν δὲ λέγῃ διπλωσίδια, περὶ τούτου λέγει · « Δύο γὰρ αὐτὰ βολαί εἰσιν, ποτὲ ἀργυροχαλκοῦ[727] ποτὲ χρυσαργύρου, ποτὲ μολυβδοχάλκου, ὁμοίως καὶ ἄλλα πάντα νοοῦνται. Περὶ δὲ ἄρσεως ἀργύρου εἰ πάντροπον, ἢ μελάνσεως[728] · ὅτι διὰ πάντα παρ' αὐτοῖς ἔλεγεν, ἡ Μαρία μόνη ἀπέκραξεν, λέγουσα[729] « Ὅτι ἐὰν λέγω χαλκὸν, ἢ μόλυβδον, ἢ σίδηρον, τὸν ἰὸν λέγω. »

*
**

1.1.20 3. — 19. ΠΕΡΙ ΤΟΥ ΤΡΟΦΗΝ ΕΙΝΑΙ ΤΑ Δ´ ΣΩΜΑΤΑ ΤΩΝ ΒΑΦΩΝ · ΕΙΣΙΝ ΔΕ.[730]

Transcrit sur M, f. 150 v. — *Collationné sur* B, f. 134 r. ;— *sur* A, f. 123 r. ;— *sur* K, f. 22 v. ;— *sur* E, f. 59 r. ;— *sur* Lb, p. 227. — *Les variantes et restitutions de* M *ont été reportées en marge de* K. — *Chapitre* 42 *de la compilation du Chrétien dans* E Lb.

---

723. ἑνὸς καὶ om. B etc. — εἰρήκασι] λελαλήκασι B etc.
724. οὐ γέγονε — βάλλειν τὸ πᾶν om. AK, hab. BELb.
725. Πηβήχιος B etc. — σωμάτων om. M.
726. λέγῃ] λέγωσι M. — Réd. de B etc. : ὅταν οὖν καὶ ἡ Μαρία λέγῃ περὶ τούτου, φησί.
727. ἐπιβολαὶ B etc. Réd. de Lb seul : ποτὲ μὲν ἄργυρος, π. δὲ χρυσὸς καὶ ἄργυρος, π. δὲ μολυβδόχαλκος.
728. εἰ πάντροπον] εἶπον (ὡς εἶπον ELb) πρότερον B etc.
729. μόνη γὰρ ἀπέκραξεν Lb.
730. εἰσὶν δὲ οὕτως AKE ; om. Lb.

1. Τὸν χαλκὸν ἡ Μαρία φάσκει βάπτεσθαι πρῶτον, καὶ οὕτω [731] βάπτειν. Ὁ χαλκὸς αὐτῶν τὰ δ´ σώματα. Αἱ οὖν βαφαὶ αὗται · εἴδη δὲ τοῦ καταλόγου στερεὰ καὶ ὕγρα, βοτάναι · στερεὰ μὲν ἀπὸ νεφέλης ἕως χρυσοκόλλης, ὑγρὰ δὲ πάντα τοῦ καταλόγου · τὸ δὲ [732] ἀληθὲς, ὕδωρ θεῖον.

2. Ὥσπερ οὖν ἡμεῖς ἀπὸ στερεῶν καὶ ὑγρῶν τρεφόμεθα καὶ βαπτόμεθα [733] ποιότητι μόνον, οὕτω καὶ ὁ χαλκὸς αὐτῶν · καὶ καθάπερ ἀπὸ στερεῶν μόνων οὐ τρεφόμεθα ἢ ὑγρῶν, οὕτως οὐδὲ ὁ χαλκός. [734] Καθάπερ γὰρ ἡμεῖς τὸ στερεὸν μόνον δεξάμενοι φλεγόμεθα καὶ ἐκκαιομεθα, καὶ φαρμακευόμεθα, καὶ ὁ χαλκὸς αὐτῶν. Πάλιν ἐὰν ἀπὸ [735] τοῦ μόνου δεξώμεθα ποτοῦ, μεθύομεν καὶ καρηβαροῦμεν, καὶ περὶ τὰς [736] παρείας βαπτόμεθα, καὶ ἐμοῦμεν. Καὶ ὁ χαλκός · χρωσθεὶς γὰρ καθάπερ [737] ὁ χρυσὸς ἐκ τοῦ ὕδατος τοῦ θείου, καρηβαρεῖ καὶ ἐμεῖ, καὶ εὐθέως φεύγει. Ὥσπερ οὖν ἡμεῖς δεξάμενοι συμμέτρως ἀμφοῖν τὴν [738] τῶν στερεῶν καὶ ὑγρῶν τροφὴν, τρεφόμεθα κατὰ λόγον, καὶ αἱ παρείαι [739] βάπτονται κατὰ λόγον, καὶ ἡ θρεπτικὴ ἡ δύναμις διανέμει ἐν τῷ στομάχῳ τὴν τροφὴν διὰ τῆς καθεκτικῆς δυνάμεως, οὕτως καὶ ὁ χαλκὸς λαβὼν τὰ στερεὰ ἀντὶ τροφῆς τοῦ ὕδατος θείου μετὰ κομμεως, [740] ἀντὶ οἴνου τρέφεται καὶ χρωΐζεται διὰ τῆς ἐν αὐτῷ καθεκτικῆς δυνάμεως. Καὶ ὧδε δὲ τῷ ῥηθέντι εἶπε · « τὰ θειώδη ὑπὸ τῶν [741] θειωδῶν κατέχεται · » τὸ δὲ ἀληθὲς · « Ἡ φύσις τὴν φύσιν τέρπει, [742] καὶ νικᾷ, καὶ κρατεῖ. »

3. Καθάπερ, φησὶν, ὁ ἄνθρωπος ἐκ τῶν δ´ στοιχείων, οὕτω καὶ ὁ χαλκός · καὶ ὥσπερ οὗτος ἐξ ὑγρῶν καὶ στερεῶν καὶ πνεύματος [743] σύγκειται · οὕτω καὶ ὁ χαλκός · πνεῦμα δὲ τὴν νεφέλην ὁ Ἀπόλλων ἐν τοῖς χρησμοῖς λέγει ·

... καὶ πνεῦμα μελάντερον, ὑγρὸν, ἄχραντον. [744]

4. Περὶ τῆς νεφέλης καλῶς ἐρρέθη παρὰ τῆς Μαρίας · « Ὁ χαλκὸς [745] οὐ βάπτει, ἀλλὰ βάπτεται, καὶ ὅ- (f. 151 r.) ταν βαφῇ, τότε βάπτει · καὶ τρεφόμενος τρέφει, καὶ τελειωθεὶς τελεοῖ. » Ἔρρωσο. [746]

*
**

731. φάσκει] φησὶ B etc.
732. πάντα τὰ εἴδη τοῦ καταλόγου Lb.
733. καὶ ὑγρῶν — ἀπὸ στερεῶν om. B etc.
734. ἢ] ἀλλὰ καὶ L.
735. καὶ πάλιν ὥσπερ Lb.
736. δεξάμενοι Lb. — M mg. : groupe de points noirs — F. l. δαισώμεθα.
737. οὕτω καὶ ὁ χαλκός Lb. — F. l. χρωϊσθεὶς.
738. ἀμφὺν. M
739. καταλόγον A.
740. τοῦ θείου Lb seul.
741. Καὶ ὧδε δὲ] Οὕτω δὴ καὶ ἐνταῦθα B etc.
742. κατέχεται] κρατοῦνται καὶ κατέχονται Lb. — F. l. τόδε.
743. οὗτος ...] ὁ ἄνθρωπος ἐκ στερεῶν καὶ ὑγρῶν καὶ πνεύματος σύγκειται Lb.
744. ἄχρανθον M. Cp. p. 150, l. 11.
745. Περὶ δὲ τῆς νεφέλης Lb.
746. ἔρρωσο om. B etc.

1.1.21 **3. — 20.** ΠΕΡΙ ΤΟΥ ΧΡΗΣΤΕΟΝ ΣΤΥΠΤΗΡΙᾼ ΣΤΡΟΓΓΥΛῌ ΑΝΤΙΛΟΓΟΣ.[747]

Transcrit sur M. f. 151 r. — *Collationné sur* B, f. 135 r. ;— *sur* A, f. 123 v. ;— *sur* K, f. 22 v. ;— *sur* E, f. 60 r. ;— *sur* Lb, p. 225. — *Les variantes de* M *ont été reportées en marge de* K. — *Chap.* 43 *de la compilation du Chrétien dans* E Lb.

1. Ἔγνως ὅτι ἓν τὸ πᾶν, καὶ τοῦ παντὸς γέγονεν τὸ πᾶν. Ἰστέον δὲ καθὼς ἀπεδείξαμεν ἐν τοῖς προτέροις μου ὑπομνήμασιν ὅτι πάντα[748] ὑφ' ἓν γενόμενα ἕν τι τῶν σωμάτων καλοῦσι, μάλιστα τὸν χαλκὸν · καὶ σῶμα μαγνησίας φάσκουσιν οἱ φιλόσοφοι. Οὐ μόνον δὲ νεφέλη ποιεῖ τὸν χαλκὸν ἀσκίαστον, ἀλλὰ καὶ ὁ χαλκὸς ἀπεδείχθη τὰ ὅλα · ὥσπερ καὶ σῶμα τῆς μαγνησίας ἄρα μετὰ ὅλων πήγνυται. Λαβὼν γὰρ, φησὶν, ὑδράργυρον, πῆξον τῷ τῆς μαγνησίας σώματι. Ἆρα οὖν τὴν νεφέλην ζητοῦμεν ἀναλαβεῖν τὸ πᾶν, ἵνα οὕτως πήξωμεν ; Πᾶσαι γὰρ αἱ γραφαὶ ἄνω καὶ κάτω · « ἀναλαβὼν νεφέλην. » Ἐμάθομεν δὲ ἐκ τῆς πείρας ὅτι εἰ μὴ χρυσὸς, καὶ ἄργυρος, καὶ κασσίτερος, καὶ μόλυβδος, καὶ ἡ νεφέλη οὐκ ἀναλαμβάνει. Καὶ λοιπὸν τί ποιοῦμεν τοὺς λίθους καὶ τὸν σίδηρον ;

2. Αἱ ἄλλαι γραφαὶ λέγουσιν · « Φάκινον δεῖ ποιεῖν τὸ πᾶν καὶ ἀναλαμβάνειν ὑδροκομίῳ. » Ἄλλοι δὲ οὕτως τὴν νεφέλην περιγίνονται[749] · Ἔγωγε νομίζω βέλτιον εἶναι κιννάβαριν συλλειοῦν · πλὴν, ὡς οἶδε τις αὐτὴν γεννῶσαν δι' ἑψήσεως ἧς χρήζει νεφέλην, καὶ οὕτως κατεργάζεται. » Καὶ γὰρ οἰκονομούμενα ἐν τῷ ἡλίῳ τὰ εἴδη ὕδατι ἢ[750] ὄξει νεφέλην ἀποτίκτουσιν · καὶ τοῦτο διὰ πείρας ἐπιστάμεθα. Καὶ πᾶσαι αἱ γραφαὶ καὶ Χύμης καὶ ἡ Μαρία φησίν · θυεία μολιβδίνη καὶ[751] δοίδυξ μολίβδινος · κιννάβαριν ὄξος λύει ἐν ἡλίῳ ἕως γένηται νεφέλη[752] · ὁμοίως καὶ ἐπὶ κασσιτέρου πάλιν τὸ αὐτό · πάλιν δὲ ἑψόμενα ἤτοι[753] καιόμενα ἢ πηγνύμενα ἢ βαπτόμενα, εἰώθασιν ἀναδιδόναι μάλιστα τὴν νεφέλην, ἐὰν τεχνικῶς ἑψηθῇ · καὶ ὅπερ κάμνει τις τῇ τῶν ὅλων ἀναλήψει, ταῦτα ἡ κιννάβαρις δυνάμει οὖσα, νεφέλην δρᾷ, καὶ διαβαίνει, μετὰ πάντων λειωθεῖσα.[754]

3. Ἀλλ' ἴσως ἐρεῖ τις ὅτι βέλτιον τὴν νῦν πεπηγμένην συλλειοῦν (f. 151 v.) νεφέλη ἰουμένη, ὅτι ἁπλῆν πῆξιν αἱ γραφαὶ οὐ λέγουσιν,[755] ἀλλὰ τὴν κατὰ πάντων λευκὴν ἐπιβληθεῖσαν τῷ ἡμετέρῳ χαλκῷ[756] ποιεῖν αὐτὸν ἄσκιον ἄργυρον. Οὕτως ὁ κατὰ παντων Στέφανος, τουτέστιν καθ' ὅλων τῶν εἰδῶν τὴν ἁπλῆν φαντάζεται · εἰ δὲ καὶ[757] ἁπλῆν λέγουσιν, ἴστε πάντες ὡς οὐδὲν δρῶσιν · προσεκπνεύσασα

747. Titre dans Lb seul : περὶ τοῦ χρηστέον τῇ κινναβάρει.
748. καὶ ἐκ τοῦ παντὸς Lb.
749. ὑδροκομμίῳ Lb. — ἄλλαι BA.
750. Après κατεργάζεται] ξ redoublé à l'encre noire M.
751. Réd. de Lb, d'après les corr. de E : θυείᾳ μολυβδίνῃ καὶ δοίδυκι μολυβδίνῳ τὴν ἄσβεστον καὶ τὴν κιννάβαριν καὶ ὄξος λείου. — Χήμης E.
752. λύει] λείου B etc.
753. κασσιτέρου] ὑδραργύρου Lb seul. — M mg. : θ' ὅλον sur une ligne verticale.
754. μετὰ] κατὰ E et mg. : *alias* μετὰ. — τελειωθεῖσα Lb.
755. νεφέλην ἰωμένην Lb.
756. πάντα Lb, ici et l. suiv.
757. φαντάζονται M.

γὰρ[758] διὰ τῆς πήξεως εἰς τὸ πῦρ, καὶ ἀπολέσασα τὸ πνεῦμα τὸ βαπτικὸν, οὐδὲν δρᾷ. Ἡ δὲ κιννάβαρις ἑψομένη μετὰ τῶν εἰδῶν οὐκ ἀπολεῖται[759] τὸ πνεῦμα · διωκόμενον γὰρ αὐτῆς τὸ πνεῦμα, τουτέστιν ἡ νεφέλη ὑπὸ τοῦ πυρὸς, καὶ ἀναδιδομένη εἰς φυγὴν κατέχεται ὑπὸ τῶν συγγενῶν καὶ διωκόντων αὐτὴν σωμάτων, μάλιστα τοῦ κασσιτέρου.[760]

4. Ἔχομέν τινα συνηγοροῦντα, ἃ δεῖ χρήσασθαι στυπτηρίᾳ στρογγύλῃ[761] ἀντι νεφέλης. Καὶ ἡ Μαρία συνηγορεῖ λέγουσα · « Αἱ δὲ χύσεις τῶν καταβαφῶν γίνονται ἐν ληκυθίοις χλωροῖς, τὸ πῦρ ἐκ προσαγωγῆς. » Ἡ δὲ κάμινος φουρνοειδὴς, ἔχουσα ἄνω τοὺς μαζούς. Ἐὰν δὲ μὴ εὐπορήσῃς, βάλε στυπτηρίας στρογγύλης τὸ διπλοῦν, ἤγουν κινναβάρει χρωϊσάμενον,[762] τὸ αὐτὸ δρᾶσαι κάλλιον · ἐπειδὴ μετὰ ἄλλων φακινίνων καὶ[763] εὐεργές. Ἡ γὰρ νεφέλη ἀναλαβοῦσα μόνον τὰ δ´ σώματα. Λέγουσι γὰρ[764] τινες ὅτι καὶ ἐκ τῶν ἄλλων σωμάτων ἀναλαμβάνεται, καὶ μάλιστα τῆς χρυσοκόλλης · ἐγὼ δὲ οἶδα ὅτι μόνον χρυσόκολλα οὐκ ἀναλαμβάνει, ἀλλὰ τάχα οὐδὲ ζῶντα καὶ ἐκλειωθέντα τὰ σώματα πάντα φέρουσι τὴν νεφέλην.

5. Ὅτι παρὰ Ἀγαθοδαίμονος εἴρηται ὅτι ἡ χρυσόκολλα καὶ ἡ νεφέλη φίλαι ἀλλήλων εἰσίν · καὶ ἀναλαμβάνει αὐτήν. Καὶ ἡ μὲν ὡς τὰ ῥινίσματα [φίλαι ἀλλήλων], ἡ δὲ οὐδὲ διὰ τῆς συλλειώσεως τῆς κιννιβάρεως[765] ἔχει τὴν φιλίαν. Ἀμφότερα γὰρ ξηρὰ ὄντα συλλειοῦνται, καὶ κατὰ τοῦτο φίλαι εἰσίν. Πάλιν δὲ, δυνάμει οὖσα, νεφέλη τὸν δυνάμει χαλκὸν ἀπεργάζει · καὶ εὑρίσκονται φίλαι.[766]

6. Δεῖ δὲ ζητεῖν ὅπως τὰ (f. 152 r.) πάντα ἀναλήψεται ἡ νεφέλη, οὐ μόνον ζῶντα λελησμένα σώματα, ἀλλὰ καὶ κεκαυμένα. Καὶ γὰρ[767] τῇ ἀληθείᾳ καὶ μέταλλα ἀναλαμβάνει, μάλιστα ὅσα χαλκοῦ γένεσιν ἔχουσι. Εἰ δὲ οὐκ εὐπορεῖς, βάλλε κινναβάρεως τὸ διπλοῦν · πάντων δὲ εὐπορία. Τὸν δὲ καὶ νοῦν ὁ φιλόσοφος αἰνίττεται. Δεῖ σε οὖν πάντα[768] ἐπινοεῖν, ἐν πρώτοις δὲ μὴ ἀργεῖν ἀπὸ τῆς τέχνης · ἡ γὰρ μελέτη ἐπὶ τὴν ἀληθινὴν ὁδὸν ἄγει. Ταῦτα δέ μοι λέλεκται, δεῖξαι βουλομένῳ[769] ὅτι τάχα καὶ ἡ στυπτηρία στρογγύλη ὁμοίως δρᾷ, καθὼς εἶπε μάλιστα[770] καὶ ἡ θεία Μαρία.

✳
✳✳

758. λέγουσιν] ἄγουσιν M (et en marge de E, mais biffé).
759. M mg. : καλὸν avec renvoi à δρᾷ. — οὐδὲν δρᾷ καλῶς Lb, f. mel.
760. κασσιτέρου] Ἑρμοῦ B etc. — μάλιστα τοῦ κασσιτέρου. Ἔχομεν] Μάλιστα δὲ τοῦ Ἑρμοῦ · ἐχ. Lb seul.
761. M mg. : ἐψ. avec renvoi à στυπτ. στρ. — ἃ] F. l. ὅτι.
762. M mg. : ·*b*· en noir, et πψ puis le signe de στυπτ. στρ. en gris.
763. φακίνων Lb.
764. ἐνεργὲς AKELb ; ἐνεργὲς γίνεται Lb.
765. φίλα E. — M mg. : ÷. — λειώσεως Lb. — κινναβαρώσεως BAK ; κινναβαριωσέως Lb.
766. ἀπεργάζεται B, etc.
767. ἀλλελησμένα B etc. F. l. λελειωμένα, délayés, dissous (*M. B.*).
768. τὸν δὲ νοῦν καὶ B etc.
769. λέλεχθαι (*sic*) M.
770. ἡ] ὁ M.

1.1.22 3. — 21. ΠΕΡΙ ΘΕΙΩΝ. [771]

Transcrit sur M, f. 152 r. — *Collationné sur* B, f. 136 v. ;— *sur* A, f. 125 r. ;— *sur* K. f. 23 ;— *sur* E, f. 62 v. ;— *sur* Lb, p. 233. — *Les variantes et restitutions de* M *ont été reportées en marge de* K. — *Chap.* 44 *de la compilation du Chrétien dans* E Lb.

1. Οὐκ ἐμὲ ἐπηρώτησας τὸν περὶ θείων λόγον, μέχρι τῆς σήμερον εὐορκοῦσα ; Σοὶ οὖν ὁ λόγος καιρίως λεχθήσεται · ἔγνως γὰρ ὡς οὐ [772] μόνον ὁ φιλόσοφος θείων ἐμνημόνευσεν, ἀλλὰ καὶ πάντες οἱ προφῆται · ἄνευ γὰρ αὐτῶν οὐδὲν ἔσται, τουτέστιν ἄνευ τοῦ θείου ὕδατος. [773] Τὸ γὰρ ὅλον σύνθεμα δι' αὐτοῦ ἀναλαμβάνεται, καὶ δι' αὐτοῦ ὀπτᾶται, καὶ δι' αὐτοῦ καίεται, καὶ δι' αὐτοῦ πήγνυται, καὶ δι' αὐτοῦ βάπτεται, καὶ δι' αὐτοῦ ἰοῦται, καὶ δι' αὐτοῦ ἐξιοῦται. Φησὶν γὰρ · « Ἐπίβαλλε ὕδωρ θείου ἀθίκτου καὶ κόμμι ὀλίγον, πᾶν σῶμα βάπτεις. [774] » Τὸ δὲ αὐτὸ ἄκουε · « Ἔα κάτω καὶ γίνεται · τὸ γὰρ ἐμφανὲς [775] μυστήριον τοῦτο. » Ἀλλ' ἐρεῖ τις · τί ὅμοιον ὕδατι θείῳ θειωδῶν, [776] καὶ ὕδωρ θεῖον ; πρὸς ὃν πρῶτον ἐροῦμεν ὅτι ποτέ τίς ἀπὸ θείων [777] ἐποίησέν τι μετὰ ἄλλων · ἐπειδὴ δὲ οὐδὲν ἐποίησεν, δικαίως ὁ ἐμὸς [778] φιλόσοφος αὐτὰς οὐ παρέλαβεν, καθὼς ἡμῖν νοεῖται. [779]

2. Λοιπὸν θεῖον καλεῖται τὸ ὕδωρ τοῦ θείου · ἄκουε. Λέγεται θεῖον ἡ κάτωθεν ἄνω ἀναπεμπομένη αἰθάλη, ἔνθεν καὶ τὴν τέφραν τὴν [780] γινομένην ἐν τοῖς τοίχοις τοῖς καπνιζομένοις θεῖον καλοῦσιν · ὁμοίως [781] τὰς ῥαθάμιγγας τὰς ἀποπιπτούσας ἀπὸ τῶν λοετρῶν, καὶ τὰς εἰς τὰ πώματα τῶν λεβήτων ἐστη- (f. 152 v.) κυίας σταγόνας, θεῖα καλοῦσιν [782] · καὶ πάλιν ἀπὸ πυρὸς κάτωθεν ἀναπεμπόμενον ἄνω, θεῖα καλοῦσιν [783] · καὶ τὴν ὑδράργυρον λευκὴν θεῖα καλοῦσιν, διὰ τὸ καὶ αὐτὸ [784] ἀναπέμπεσθαι.

3. Εἰώθασιν δὲ οἱ ἀρχαῖοι λεπτῷ πυρὶ καὶ λευκανθίοις ἀκαυστοῦν [785] τὰ θειώδη · ὅπερ δὲ τὸ πῦρ ποιεῖ χωρὶς φύσεως, τοῦτο ὁ ἥλιος ποιεῖ [786] μετὰ θείας φύσεως. Καὶ ὁ Ἑρμῆς ὁ μέγας φησί · « Ἥλιος ὁ πάντα ποιῶν. » Πάλιν ὁ Ἑρμῆς πανταχοῦ ἔλεγεν · « Θὲς ἐν τῷ ἡλίῳ, καὶ · τρίβε νεφέλην ἐν τῷ ἡλίῳ · καὶ ἄνω καὶ κάτω τὸν

771. Titre dans B etc. : περὶ τῶν θείων ὑδάτων.
772. ἐνορκοῦσα Lb. — κυρίως AKELb.
773. Τὸ γὰρ ὅλον σύνθεμα — πᾶν σῶμα βάπτεις] Cp. 3, 10, 2, p. 144. — Ligne verticale en marge de Lb jusqu'à πᾶν σῶμα βάπτεις.
774. F. l. Ἐπιβάλλων. Cp. p. 145, l. 3.
775. Ἔα κάτω. καὶ γίνεται.] Cp. Stephanus, p. 247, éd. Ideler.
776. τοῦτό ἐστιν Lb. — Réd. de Lb : Τί ὅμοιον θεῖα καὶ θειώδη καὶ ὕδατι θείου.
777. πότε τίς B etc., f. mel.
778. μετ' ἄλλων (ἄ sur grattage) A ; μέταλλον Lb.
779. αὐτὰ Lb, f. mel. — καθ' ὧν MBAK ; καθ' ὃν ELb. Corr. conj.
780. αἰθάλη om. M ; souspointillé dans K.
781. στοίχοις M.
782. λεκήτων M (confusion du β et du κ, fréquente aux 10e et 11e siècles).
783. τὰ ἀπὸ πυρὸς ἀναπεμπόμενα Lb.
784. M mg. : ὡρ (ὡραίοτατον ?) ἁπάντων, sur une ligne verticale et en lettres retournées. — αὐτὸ] αὐτὴν Lb.
785. λευκανθίαις Lb. F. l. ληκυθίοις (*M. B.*).
786. δὲ] γὰρ B etc.

ἥλιον σημαίνει · πάντα που δρᾷ, καὶ πῦρ ἡλιακὸν, ὡς προείπαμεν ἐν τοῖς λευκανθίοις · εἰκότως καὶ τὸ ἄλλο σύνθεμα οὕτως ζώννυται ἅλμη, ἕως οὗ λευκανθῇ. Καὶ κατὰ τοῦ εἰπόντος εἰς τὰ ὑπὸ κύνα καὶ τὰς ἡλιακὰς, τῶν ἀμφοτέρων πεῖρα διδάσκει. Ὥσπερ γὰρ ἡ ζύμη τοῦ [787] ἄρτου ὀλίγη οὖσα τοσοῦτον φύραμα ζυμοῖ, οὕτως καὶ τὸ μικρὸν χρυσοῦ ἢ ἀργύρου πέταλον τὸ πᾶν τέλειον γίνεται ξηρίον, [788] < καὶ > ἅπαντα ζυμοῖ. Καὶ ἐὰν ἀκούσωμεν γʹ ἢ εʹ ἢ ζʹ, τὰς ὅλας ιεʹ · οὕτως [789] ποιοῦντες δοκοῦσιν, καὶ ἀναμαλάξαντες πάντα ἐν ὑαλίνοις σκεύεσιν · τὰ γὰρ ὄστρακα καὶ παρατηρούμεθα ἐν τῇ ἰώσει, ἵνα μὴ πίῃ τὴν βαφὴν καὶ τὸ τῆς βαφῆς ἄνθος · ἅπαξ γὰρ φθάσασα κορεσθῆναι καὶ [790] βαφῆναι ἡ δεκτικὴ αὕτη φύσις τοῦ χρυσανθίου, ἢ σκωρία χαλκοῦ [791] οὐκέτι πίνει τὸ ἄνθος τῆς ἰώσεως.

4. Τῆς βαφῆς ἐκεῖ ἐν ὑάλίνοις ποιοῦμεν (ἐπειδὴ συμπάσχει τῇ [792] ἰώσει), οὐ ψηλαφοῦντες χερσίν · θανατηφόρος γάρ ἐστιν, ὅτε καὶ ὁ [793] χρυσὸς ἐν αὐτῷ σαπῇ, ὁ πάντων τῶν μετάλλων δηλητηριωδέστερος. Οἱ μὲν συλλειοῦσι τῷ ἰῷ ὃ μεμάθηκας, θείῳ λέγω, χρίουσιν πέταλον [794] ἀργύρου. Καὶ οὕτως ἐκ προβάσεως ὀπτοῦσιν τὸ τεχνικὸν ὄργανον καμίνῳ τῷ ἐοικότι δινιχεῖ καὶ τῷ χωνίῳ τῷ βαθμοειδεῖ, καὶ γίνεται [795] χρυσός.

5. Τινὲς δὲ, καὶ Μαρία τῶν ὑποκάτω τοῦ ζωδίου ἐμνημόνευσαν · καὶ [796] οὕτως ἐποίησαν, ὑδράργυρον, φησὶν, καὶ θεῖον καὶ ἰὸν λειοῦντες ὅλα ὁμοῦ ἐν ἡλίῳ, ἕως οὗ (f. 153 r.) γένηται ὅλον ὄλβιος. Καὶ λέγουσιν [797] ὅτι οὗτος εἰσακτικώτερός ἐστιν. Τινὲς αὐτὴν τὴν ἴωσιν μόνην ἐλείωσαν [798] ἐν ἡλίῳ, ὡς μηδὲν βάλλοντες, ἀλλὰ φάσκοντες ἔχειν αὐτῶν τὰ [799] ζητούμενα · ἄλλοι τὸν ἰὸν ὕδατι θείῳ ἐλείωσαν, φάσκοντες αὐτὸ εἶναι θεῖον · αὐτὸ καὶ ὑδράργυρον. Καὶ μᾶλλον αὐτοὺς τῶν ἄλλων ἀπεδεξάμην. Ἄλλοι ὑδράργυρον ἔβαλον, οἱ μὲν ὠμὴν, οἱ δὲ παγεῖσαν ξανθήν. [800] Τινὲς δὲ μετὰ τὴν ἴωσιν οὐδὲν περαιτέρω περιειργάσαντο.

6. Οἱ φιλόσοφοι δὲ ᾐνίξαντο μετὰ τὴν ἴωσιν, λέγοντες · « Καὶ χρυσὸν καταβάπτεις, » ὥστε κάλλιον μετὰ τὴν ἴωσιν ἐνεργεῖν. Ἕτεροι δὲ τῶν ἱερογραμματέων τῶν συγγραψαμένων περὶ μόνην τὴν τέχνην, ἀσχολουμένων ἐν τῇ λειώσει, μόνην ἔφασαν τὴν ἴωσιν τὰ πάντα [801] ποιεῖν, μάλιστα καὶ ἰόν. Καὶ οὕτως αὐτοῖς ἤρεσεν.

787. Cp. une phrase semblable, p. 145, l. 9-11.

788. τέλειον] μελισὸν M. F. l. μελλῆσον. Cp. l. c., l. 10 : μέλλει.

789. Réd. de E : καὶ οὕτω γὰρ ποιοῦντες δοκοῦσι μὲν ἀναμαλάξαντες ... — Réd. de Lb : οὕτω γὰρ ποιεῖν δοκοῦσι (corrigé en δοκοῦμεν) ἀναμαλάξαντες ...

790. κορευθῆναι M.

791. χρυσανθίου] χρυσοῦ τοῦ θείου E ; τοῦ χρυσοῦ Lb. — σκωρίας mss.

792. Cp. 3, 29, tout le § 15 (= ⋆).

793. ψηλαφῶντες Lb, mel. — Réd. de ⋆ : ὅτε ὑδράργυρος καὶ ἐν αὐτῷ χρυσὸς σαπῇ · ὅτι πάντων ...

794. ὃ μεμαθ. θεῖον · λέγω δὲ χρ. Lb.

795. δίνυχι B etc. F. l. δοίδυκι.

796. τοῦ ὑποκάτω Lb. — ζωμίου B E mg. Lb.

797. ὄλβιος] ὅλον ἰὸς B etc.

798. ἴωσιν] λείωσιν B etc.

799. αὐτῶν] F. l. αὐτοῖς.

800. ἄλλοι δὲ Lb.

801. ἔφησαν M.

Ἄλλοι δὲ ἐψήσαντες, ὤπτησαν καὶ ἤψησαν ἐκ χώνης, οἷς τὸ πᾶν τῆς λειώσεως[802] ἤρεσεν · οἷς οὖν λείωσις μόνη ἤρεσεν, πέταλα ἀργύρου χρίοντες ὤπτησαν καὶ ἤψησαν. Εἰς τοσοῦτον δὲ ἐλείουν ὥστε πάντα μιμεῖσθαι τὸ λειούμενον, καὶ ὕδατι καὶ ὑδραργύρῳ, καὶ εἴ τινι τοιούτῳ.

7. Καὶ ὥσπερ ἐν τῇ ἑψήσει τῇ τεχνικῇ διάφορα γράμματα ἀναδείκνυνται,[803] οὕτως καὶ ὁ Ἀγαθοδαίμων ὅτι μᾶλλον οὗτος πλέω πάντων περὶ τῶν λείωσεων ἐφρόντισεν. Εἰς τοῦτο συνηγοροῦσιν ἐν τῇ λειώσει τοῦ προσωπιδίου θείου μετὰ χρυσοκόλλης, καὶ ἁλὸς ἀνθίου.[804] Ἐὰν δοκιμάσῃς, φησὶν, διάφορα καίεται, ἕψει, φησὶ, λειῶν ἐν ἡλίῳ[805] ἕως γένηται · ἐκ τούτου μᾶλλον τὴν ἕψησιν, λείωσιν ἐτεκμήραντο[806] · τοῦτο ποιοῦσιν, βουλόμενοι ἐπιδείξασθαι τὴν τοῦ φαρμάκου δύναμιν, σκεύη τὰ ἀργύρου λαμβάνοντες, καὶ τὸ ἥμισυ χρίσαντες, τὸ φάρμακον[807] ὀπτοῦσι καὶ ἐκφέρουσι τὸ σκεῦος κεχρυσωμένον τὸ μέρος τὸ χρισθέν · Τὸ δὲ ἕτερον ἀκέραιον μένει. Καὶ οὕτως μὲν ὁ περί θείου ὕδατος λόγος.[808]

✶
✶✶

1.1.23 3. — 22. ΠΕΡΙ ΣΤΑΘΜΩΝ.

Transcrit sur M, f. 153 r. ;— *Collationné sur* B, f. 139 r. ;— *sur* A, f. 127 r. ;— *sur* K, f. 24 v. ;— *sur* E, f. 65 r. ;— *sur* Lb, p. 243. — *Les variantes et restitutions de* M *ont été reportées en marge de* K. — *Chap.* 45 *de la compilation du Chrétien dans* E Lb.

1. (f. 153 v.) Ὁ περὶ σταθμῶν λόγος τὸ πᾶν τῆς ἑψήσεως φαίνεται συνέχων μυστήριον · αὐτὸ γὰρ σύνθεσις, αὐτὸ σταθμὸς, αὐτὸ λεύκωσις, αὐτὸ ξάνθωσις. Ἠρέμα δέ πως ἐν τῷ περὶ συνθέσεως λόγῳ, ταῦτα[809] πάλιν περὶ χαλκοῦ καὶ ἰώσεως. Φαίνεται δὲ καὶ αὐτὸς τοιοῦτον[810] μόλυβδον λαμβάνων, ἀφ' οὗ καὶ αὐτὸς · Σκόρπισον μολύβδῳ · οὐχ[811] ἁπλῶς ἔλεγεν, ἀλλὰ τὸ ἀπὸ κοπτικοῦ καὶ λιθαργύρου μέλανι τῷ[812] ἡμῶν. Ἡ δὲ σκόρπισις ἐμοὶ λείωσις φαίνεται, ὡς ἀποδείξω ἐκ πασῶν τῶν γραφῶν ἐν τῇ ἐμῇ κατενεργείᾳ περὶ τοῦ σταθμοῦ. Εἰώθασιν γὰρ[813]

802. ἐν χωνείοις l.b.
803. γράμματα] χρώματα BAK Lb ; χρωμάτων E. — ἀναδείκνυται B etc.
804. προσωποπιδίου BE (πο surpointillé E). — τοῦ θείου Lb.
805. διαφόρως Lb seul.
806. F. l. ἕως γένηται < ἰός. > Cp. p. précéd. l. 14.
807. τὰ ἀπὸ ἀργύρου B etc.
808. F. l. οὗτος.
809. Ἠρέμα δ. π. ὅσα ... Lb.
810. καὶ ἰώσεως εἴρηκε Lb.
811. μόλυβδον] μολύβδῳ Lb seul. Le signe du plomb dans les autres mss.
812. τὸ] τοῦ B ; τῷ AKE Lb, mel.
813. ἐν τῇ ἑ. κατ' ἐνέργειαν συνθέσει Lb.

δι’ ὧν καίουσιν ἢ σκορπίζουσιν ἢ ἐπιβάλλουσιν, διὰ τούτων συσταθμίζειν κεκρυμμένως · σταθμίζουσι τὸν μόλυβδον · ὃς καὶ διὰ τῆς [814] διασκορπίσεως, καὶ συσταθμίζεται λεύκωσις καὶ ἴωσις διὰ τῆς ἐπιβολῆς. [815] « Ἐπίβαλλε γὰρ τοῦ λευκοῦ φαρμάκου τὸ ἥμισυ, » καὶ τὰ ἑξῆς. [816]

2. Πάντα οὖν ἐν πᾶσι κέκρυπται τῇ τέχνῃ ἀπὸ συσταθμίσεως καὶ ἰώσεως, ὁμοῦ πάντα · ἐπειδὴ ἐκ τῆς προϊζανούσης θείου τῇ φιάλῃ, [817] οὐχ ὁρᾶται τὸ ὑποκείμενον σύνθεμα πότε λευκανθῇ ἐξ αὐτῆς θείου [818] γινώσκουσιν. Ὅταν γὰρ λευκὴ γένηται, τὸ τηνικαῦτα γινώσκεται [819] καὶ τὸ ὑποκείμενον λευκανθέν. Ἔνθεν ὁ Ἀγαθοδαίμων καθ’ ἑκάστην λαμβάνειν θεῖον ἔλεγεν, ἢ λευκὴν ἢ οἵαν δήποτε. Ἐκείνη γὰρ ἡ [820] μηνύουσα τὴν ὄπτησιν, ἣν ἁρπάζουσι καὶ κατακαίουσιν εἰς τὸ λείψανον τοῦ θείου, καὶ ἐκκρίνουσιν μᾶλλον ἢ ἐξίουσιν · λευκανθὲν γὰρ [821] ἁρπάζουσιν. Ἐὰν γὰρ ἐάσωσιν, ἐπὶ τὸ ξανθὸν τρέπεται. Διὸ τοίνυν [822] καὶ τοῦ θείου τοῦ λευκαίνοντος, τὸ πᾶν τοῦ σταθμοῦ παρὰ τῶν φιλοσόφων ζητήσωμεν. Ἔχει οὖν ἐν τῇ ὑστέρᾳ τῶν ζωμῶν ἀρσενίκου γ° α′, καὶ νίτρου ἥμισυ, καὶ φλοιῶν φύλλων περσέας ἁπαλῶν γ° β′, καὶ [823] ἅλας ἥμισυ, καὶ συκαμίνου χυλοῦ γ° α′, καὶ στυπτηρίας σχιστῆς · τούτοις [824] συλλειώσας ὅλα ὁμοῦ ἐν ὄξει ἢ οὔρῳ, ἢ ἀσβέστου στάκτῃ, [825] ἕως (154 r.) γένηται ζωμός. Εἶτα ἐν σκιᾷ [πυρὸς] καταβάπτει πέταλα [826] καὶ ἀποσκιώσεις ποιεῖ. Δεῖ οὖν τὰ λείποντα πάντα βάλλειν, πρό γε πάντων, ἀσβέστου μέρη β′ πρὸς θείου καὶ ἀρσενίκου, καὶ σανδαράχης [827] μέρος α′, καὶ τὰ ὕδατα · καὶ ποιήσαντες ὕδωρ λευκὸν μαρμάρῳ παρεμφερές, [828] ἐν αὐτῷ ποτίζειν ἢ ἑψεῖν τρούλλῳ τὸ προειρημένον σύνθεμα. [829]

✳
✳✳

814. ὃς] ὁ M.

815. γάρ, φησὶ Lb.

816. πάσῃ Lb seul, f. mel. — συσταθμιώσεως M ; συσταθμήσεως B.

817. Après προϊζανούσης, le signe, ou de νεφέλης, ou de θεῖον dans M ; signe de θεῖον dans BAKE ; signe de θεῖον surmonté de celui de ὑδράργυρος dans E ; ὑδραργύρου en toutes lettres Lb. Cp. p. 167, l. 13.

818. ὁρᾶται] ὅρα M ; ὁρᾶ BAK. — θείου] signe de θεῖον MBAK. A mg. : λοιπὸν τῆς puis le signe de θεῖον. Réd. de E Lb : ἐξ αὐτῆς λοιπὸν τῆς ὑδραργύρου (en toutes lettres Lb) γινώσκεται.

819. λευκὴ ὑδράργυρος γένηται Lb.

820. θεῖον] mêmes variantes que ligne 9 ; ὑδράργυρον (en toutes lettres) Lb.

821. εἰσκρίνουσιν BE Lb.

822. M mg. : περὶ ὕδατος θείου, 1re main. — Διὸ τοίνυν] Διὸ πῶς E. Réd. de Lb : Διὸ πῶς ἔχει οὖν καὶ τοῦ θείου τοῦ λευκ. τὸ πᾶν, τοῦ σταθμοῦ ...

823. φλωὸν M ; φλοιὸν E. — ἁπλὸν M.

824. τούτοις] τοῖς M.

825. σταλακτῇ ἕνωσον ἕως B, etc.

826. πυρο M.

827. σανδαράχη M.

828. καὶ τὸ ὕδ M. — ποιήσαντας Lb, mel.

829. ἢ] καὶ E. — τρούλλου M.

1.1.24 3. — 23. ΠΕΡΙ ΚΑΥΣΕΩΣ ΣΩΜΑΤΩΝ.

Transcrit sur M, f. 154 r. — *Collationné sur* B, f. 139 v. ;— *sur* A. f. 127 v. ;— *sur* K, f. 25 r. ;— *sur* E, f. 66 v. ;— *sur* Lb, p. 249 — *Les variantes et restitutions de* M *ont été reportées en marge de* K. — *Chap.* 46 *de la compilation du Chrétien dans* E Lb.

1. Φέρε τοίνυν ἐκ τῶν φιλοσόφων καὶ τί ἐστιν καῦσις σωμάτων ζητήσωμεν. Ὁ λόγος γὰρ ὁ περὶ σταθμῶν ἀνῆκεν · ἀλλὰ μὴν καὶ τὸ ὅλον συνέχει. Ἄγαγε τὸν φιλόσοφον λέγοντα · « Λαβὼν νεφέλην τὴν ἀπὸ ἀρσενίκου, πῆξον ὡς ἔθος, καὶ ἐπίβαλλε χαλκῷ ἢ σιδήρῳ θειωθέντι, [830] καὶ λευκανθήσεται. Τινὲς τὸ θειωθέντι καέντι λέγουσιν · μὴ ἀγνοοῦντες [831] γὰρ οὗτοι τὸν χαλκὸν καίουσι τῷ θείῳ, καὶ τὸν σίδηρον μαγνησίᾳ. [832] Οὐκ ἔστιν δὲ αὕτη καῦσις, ἀλλὰ φθορά. Ἡ δὲ τοῦ φιλοσόφου καῦσις αὕτη λεύκωσις ὀνομάζεται. Ὥσπερ ἡ ἐξίωσις καὶ τὰ ἄλλα ἀποδέδεικται λεύκωσις, [833] οὕτως καὶ ἡ καῦσις ἡ παρ' αὐτῷ ἐν τούτῳ τῷ προκειμένῳ λεύκωσις [834] · ἐν γὰρ δευτέρῳ, ξάνθωσις. [835]

2. Αὐτὸς οὖν ὁ φιλόσοφος καίει τὸν χαλκὸν διὰ τοῦ ὕδατος τοῦ θείου, ἑψῶν καθὰ προλέλεκται. « Ἐπίβαλλε γάρ, φησὶν, τοῦ λευκοῦ φαρμάκου τὸ ἥμισυ · καὶ ἔσται πρῶτον · τοῦτο ἕψει · τὸ γὰρ ἄλλο ἥμισυ ἐν τῇ ἰώσει τηροῦμεν. » Διὰ τοῦτο καὶ Πιβήχιος ἄνω καὶ κάτω · « Διαμερίσατε [836] εἰς δύο μοίρας τὸ φάρμακον. » Ἔλεγεν · « Καύσατε τὸν χαλκὸν [837] ἐν δαφνίνοις ξύλοις, τουτέστιν ἐν τῷ λευκῷ συνθέματι · φύλλα γὰρ δάφνης οὕτως καίονται τὰ σώματα ἑψόμενα διὰ τοῦ ὕδατος τοῦ [838] θείου, ὁμοῦ δὲ καὶ λευκαίνονται · τὸ γὰρ « ἐπίβαλλε χαλκῷ ἢ σιδήρῳ θειωθέντι · τοῦτῳ καὶ λευκανθήσεται. Καὶ ὁ Ἀγαθοδαίμων οὕτως [839] παρεγγυᾷ, ἵνα ζῶσιν τὰ σώματα καὶ ἑψῶνται μετὰ τῆς νεφέλης τῷ θείῳ [840] ὕδατι. Καὶ οὕτως ἐστὶν καῦσις καὶ λεύκωσις · ἐν γὰρ τῷ κασσιτέρῳ ὁ [841] φιλόσοφος (f. 154 v.) τὴν ἕψησιν ὑπέθετο · « τὴν προγεγραμμένην νεφέλην ἕψει ἐλαίῳ κικίνῳ ἢ ῥαφανίνῳ προσμίξας βραχὺ στυπτηρίας. [842] Εἶτά φησιν · « Ποίει μίγματα τοῦ κασσιτέρου, » καὶ τὰ ἑξῆς · πάντα [843] τέλεια διὰ μιᾶς τάξεως. Ἀπὸ γὰρ τῶν ἡμερῶν τὰ ὅλα ἐμνημόνευσεν · ἀπὸ τῶν ἐλαίων τοῦ ὕδατος τοῦ θείου · ἀπὸ τῆς στυπτηρίας, τὸ θεῖον [844] · ἀπὸ τοῦ κασσιτέρου, τὰ δύο συνθέματα · ἡ γὰρ νεφέλη κατ' αὐτὸν [845]

830. λειωθέντι K.
831. τὸ] τῶ M ; τῷ E Lb. — μὴ om. B. etc., f. mel.
832. μαγνησίᾳ om. M. — A mg. : σῆ.
833. M mg. : Λεξ, à l'encre noire. (Cp. *Lexique*, ci-dessus, p. 10. l. 4). — ἡ ἐξίωσις καὶ ἡ λεύκωσις Lb (λεύκωσις biffé dans E).
834. Après λεύκωσις] γίνεται et au-dessus : ὀνομάζεται E. — λεύκ. ὀνομάζεται Lb.
835. γὰρ] F. l. δὲ. — ξάνθωσίς ἐστι E.
836. Πηβήχιός φησιν Lb.
837. M mg. : ὧδε N° (sc. νόει ?), à l'encre noire.
838. τὰ δὲ σώμ. ἕψονται Lb.
839. θειοθέντα M.
840. ἐν τῷ θ. ὕ. Lb.
841. ἐν γὰρ τ. κ.] ἐὰν γ. τῷ κ. E ; ἐὰν γ. τῇ ὑδραργύρῳ Lb. (même variante plus loin, l. 9 et 12).
842. στυπτ. σχιστῆς Lb seul.
843. καὶ τὰ ἑξῆς — κασσιτέρου om. BAK.
844. τὸ ὕδωρ Lb mel.
845. καθ' ἑαυτὴν Lb.

δύει.

3. Αἱ γοῦν ἐπιβολαὶ κατὰ τῶν τοῦ θείου πάλιν ζωμῶν · ἡ δὲ ὄπτησις κατὰ τοῦ ὅλου, ἥτις καῦσις ἢ ἕψησις καὶ λεύκωσις.[846] Ἐν τούτῳ καίουσιν καὶ ἑψοῦνται τὰ σώματα. Αὕτη ἡ καῦσις ἡ ἀπ᾽ αἰῶνος κηρυττομένη, τοῦτον ὃν πᾶσαι αἱ γραφαὶ μυστικῶς διδάσκουσιν τὸν[847] χαλκὸν θείῳ καίειν. Αἱ δὲ ἄλλαι καύσεις φθοραί εἰσιν μᾶλλον ἢ καύσεις. Οὗτος ἐὰν καῇ, εὔχρηστος χαλκὸς εἰς πάντα καὶ ἕτοιμος εἰς καταβαφὴν,[848] ὡς καὶ ἐκταθεὶς ἠλεκτροῦται. Καὶ ἐὰν πλεονάσῃς τὰ φῶτα, γίνεται[849] ξανθὸν τὸ ἥμισυ τὸ θεῖον καιόμενον · τῆς γὰρ μαγνησίας τὸ τέταρτον[850] · καὶ οὕτως χρώμεθα ἐν τῷ χαλκῷ γ° δ′, σιδήρου γ° α′, καὶ μαγνησίας $\gamma^{\alpha}{}_{\rho}$ ΣΤ′,[851] κασσιτέρου δὲ καὶ μολύβδου χαλκία < β′, > καὶ καδμίας, καὶ κλαυδιανοῦ, καὶ χρυσοκόλλης, καὶ κινναβάρεως πρὸς ἀνάλογον τούτων τῶν οὐγγιῶν. Κἄν τε γὰρ ἐξ ἴσου ποιήσῃς ἢ πλέον ἢ ἔλασσον, ἐπιτυγχάνεις · οὕτως οἰκονομεῖσθαι ἐργῶδές ἐστι καὶ εὐηθές. Δεῖ δὲ μετὰ[852] σταθμοῦ ἐκθέσθαι, Δημοκρίτου εἰρηκότος · « Οὐδὲν ὑπολέλειπται,[853] οὐδὲν ὑστερεῖ. » Καὶ μὰ τὴν Δημοκρίτου ἀρετὴν, οὐδὲν ὑπολείπει.[854] Ἡ γὰρ σύνθεσις τοῦ ἀπολελυμένου, λέγω δὲ ὕδατος θείου καὶ νεφέλης ἄρσις, ἀφθόνως ὑμῖν ἐξεδόθη · ἡ δὲ ἔκδοσις αὕτη ἡ τῆς βίβλου ἑρμηνεία.[855] Ἐπειδὴ τοίνυν περὶ σταθμοῦ καὶ καύσεως ἀποδέδεικται, φέρε καὶ περὶ σταθμῶν ξανθώσεως ζητήσωμεν.

✳
✳✳

1.1.25 3. — 24. ΠΕΡΙ ΣΤΑΘΜΟΥ ΞΑΝΘΩΣΕΩΣ.

Transcrit sur M, f. 154 v. — *Collationné sur* B, f. 141 r. ;— *sur* A, f. 128 v. ;— *sur* K, f. 26 r. ;— *sur* E, f. 68 r. ;— *sur* Lb, p. 257. — *Les variantes et restitutions de* M *ont été reportées en marge de* K. — *Chap.* 47 *de la compilation du Chrétien dans* E Lb.

1. Διατί ὁ Ἀγαθοδαίμων ἐμνημόνευσεν ; οὐχ ἵνα σταθμὸν[856] (f. 155 r.) διδάξῃ, ἀλλ᾽ ἵνα κρόκου καὶ ἐλυδρίου τὸ διπλάσιον τῶν ἄλλων ποῶν βάλλῃ · αὗται γάρ εἰσι βαπτικώτεραι · τὸν γὰρ σταθμὸν κατὰ ἀνάλογον τοῦ λευκοῦ θείου ποιεῖ · ἔκ τε

846. καὶ λεύκωσις καλεῖται, καὶ ἐν ταύταις καίονται Lb.

847. τοῦτον ὃν] τοῦτο οὖν B etc., mel.

848. Réd. de Lb : Οὕτως οὖν ἐὰν καῇ, καλὸς καὶ εὔχρηστος χαλκὸς εἰς πάντα γίνεται, καὶ ἕτ. — χαλκὸς om. M.

849. ὃς καὶ ἐκτ. Lb. — πλέον ἐάσῃς M. F. l. πλεονάσῃ.

850. καιόμενος M. — τὸ τέταρτόν ἐστι Lb.

851. [ΣΤ, ΣΤ′ = Stigma]. Réd. de Lb (d'après les corr. et add. de E) : ἐκ τοῦ χαλκοῦ ὀγγίαις τίσσαρσι, καὶ ἐκ τοῦ σιδήρου ὀγγίᾳ μιᾷ, καὶ ἐκ τῆς μαγνησίας γραμμαρίοις ἓξ, ἐκ τῆς ὑδραργύρου δὲ καὶ μολ. καὶ χαλκίων, καὶ καδμίας ...

852. οὕτως οὖν οἰκονομεῖν Lb.

853. τὰ πάντα ἐκθέσθαι Lb.

854. ματὴν MA.

855. ἡμῖν Lb seul.

856. ἐμν. τοῦ σταθμοῦ Lb.

θείων καὶ ὑδάτων καὶ [857] ποῶν ὕδωρ θεῖον, ὃ καλεῖται παρ' αὐτοῖς ὕδωρ ἄθικτον. Ἐκ τούτου [858] ποτίζουσιν ἑψοῦντες τὸ λευκὸν σύνθεμα καὶ ξανθοῦται. Καὶ ὄπτα ὡς [859] ἤκουσας πρότερον, ἁρπάζων πάλιν ἕως οὗ ξανθωθῇ. Ὁμοίως δέ ἐστιν τοῦτο σταθμὸς καὶ ξάνθωσις. Οὗτος ὁ περὶ σταθμῶν καθὼς προεῖπεν ὁ λόγος.

2. Δεῖ δὲ εἰδέναι ὅτι ἐν τῷ ἐπιχειρεῖν τὸ πρᾶγμα πολλὰ αἴτια συμβαίνει · τὰ μὲν ὀφθαλμοφανῶς, τὰ δὲ οὔ. Ἔστι δὲ τὰ πρῶτα πλυνόμενα ἢ μιγνύμενα, μολυβδόχαλκος, καὶ τὰ ὅμοια, πυρίτης καὶ τὰ ὅμοια. Δεῖ δὲ καὶ τὸν πυρίτην καὶ τὸν ἀνδροδάμαντα, μὴ ὄξει πρῶτον οἰκονομεῖσθαι, καθὼς ἔχουσιν αἱ γραφαί, ἵνα μὴ τὸ χαλκῶδες αὐτοῦ ἰωθῇ, τὰ δὲ ὕστερον συμμισγόμενα κινναβάρει, καὶ τὰ ὅμοια [860] · ἢ ἐγχωρεῖ καὶ ἐν ἡλίῳ, καὶ τὰ ὅμοια. [861]

3. Μαρία γὰρ πρὸ πάντων μολυβδόχαλκον καὶ τὰς ποιήσεις [862] · ἣ γὰρ καῦσις ἣν πάντες οἱ ἀρχαῖοι κηρύττουσιν, Μαρία πρώτη φησίν [863] · « Ὁ χαλκὸς καεὶς θείῳ καὶ ἀνακαμφθεὶς νιτρελαίῳ καὶ ἐκτιναχθείς, [864] καὶ πολλάκις τὰ αὐτὰ παθών, χρυσὸς κρεῖττον ἀσκίαστος γίνεται. [865] » Καὶ τοῦτο ὁ θεὸς εἶπεν · « Ἴστε πάντες ἀπὸ τῆς πείρας ὅτι καύσαντες τὸν χαλκὸν θείῳ οὐδὲν ἐποιήσατε · ἐπὰν δὲ καύσῃ τοῦτο τὸ θεῖον, [866] τότε οὐ μόνον ἀσκίαστον ποιεῖ, ἀλλὰ καὶ ἐπὶ τὸν χρυσὸν βαδίζοντα. » Ἔνθεν καὶ Μαρία ἐν τοῖς ὑποκάτω τοῦ ζωδίου καὶ δεύτερον αὐτὸ ἐβόα, καί φησιν · « Καὶ τοῦτό μοι ὁ θεὸς ἐχαρίσατο · ὅτι χαλκὸς πρῶτον καίεται θείῳ, εἶτα σῶμα τῆς μαγνησίας · καὶ ἐκφυσᾶτε ἕως [867] ἐκφύγωσιν ἀπ' αὐτοῦ μετὰ τῆς σκιᾶς τὰ θειώδη. Καὶ γίνεται χαλκὸς ἀσκίαστος.

4. Οὕτως οὖν πάντες καίουσιν. Ἡ Μωσέως μάζα · « Οὕτως καίεται θείῳ, καὶ ἁλὶ καὶ στυπτηρίᾳ, θείῳ (f. 155 v.) λευκῷ λέγω. [868] Οὕτως καὶ Χίμης εἰς πολλοὺς τόπους καίει μάλιστα τὴν δι' ἐλυδρίου. [869] Οὕτως καὶ Πηβίχιος · « Καὶ ἡ ἐν δαφνίνοις ξύλοις. » Περιφραστικῶς [870] τῷ λευκῷ θείῳ ἀπὸ τῶν φύλλων δάφνης αἰνίττεται. [871] Οὗτος ὁ περὶ σταθμῶν λόγος.

5. Τοῦτο οὖν ἄνω καὶ κάτω Μαρία εἰς μυρίας τάξεις ἔλεγεν. « Τὸν ἡμέτερον χαλκὸν καῦσον τῷ θείῳ, καὶ ἐκτιναχθείς, ἔσται [872] ἀσκίαστος. » Οὐ γὰρ μόνον οἶδεν καίειν τῷ λευκῷ αὐτῷ θείῳ, ἀλλὰ [873] καὶ λευκαίνειν καὶ ἄσκιον ποιεῖν. Ἐν τούτῳ Δημόκριτος καίει, καὶ λευκαίνει καὶ ἄσκιον ποιεῖ. Πάλιν τὸ ξανθὸν θεῖον

857. θεῖον ποιεῖ Lb seul.
858. παρ' αὐτ M.
859. Réd. de Lb : ποτίζουσιν ἑψ. καὶ ξανθοῦντες καὶ ὀπτῶντες, καὶ πάλιν ἁρπάζοντες ἕως ...
860. συμμιγνύμενα B etc.
861. ἐν om. M. ἡλίῳ en signe M ; ἐν χρυσῷ (en toutes lettres) Lb seul.
862. γὰρ] F. l. δὲ. — Réd. de Lb : καὶ τὰς π. λέγει · τὴν γὰρ καῦσιν ...
863. φησίν] εἶπεν Lb.
864. ἀνακαυθεὶς B etc.
865. χρυσοῦ Lb seul. — κρείττων B etc. — καὶ ἀσκ. γίν. E.
866. καύσητε τούτῳ τῷ θείῳ B etc., f. mel.
867. ἐκφυσᾶται MB Lb ; φυσσᾶται AKE. Corr. conj.
868. στυπτ. σχιστῇ (en toutes lettres) Lb.
869. Χύμης Lb seul. — καίει] καὶ B etc. — τὴν] ἡ Lb.
870. Πηβήχιος BAKE ; Πιβήχιος Lb. — καὶ ἡ] καίει B etc. F. l. καίε. Cp. p. 179, l. 20.
871. τὸ λευκὸν θεῖον Lb seul, mieux. — ὑπὸ Lb.
872. καῦσον] καύσατε B etc. — καὶ] ὃς Lb.
873. καίειν αὐτὸν τῷ λ. θ. Lb, f. mel. — αὐτὸν] αὐτὴν BA ; αὐτὴνῶ K.

οὐ μόνον καίουσιν, ἀλλὰ καὶ ἀσκιαστοῦσιν καὶ ξανθοῦσιν. Τοῦτο ὁ Δημόκριτος λέγει · « Τὴν γὰρ αὐτὴν ἐνέργειαν ἔχει ὁ κρόκος τῇ νεφέλῃ,[874] ὡς ἡ κασία τῷ κινναμώμῳ. » Καὶ ἐν τῇ μάζᾳ Μοϋσέως ἐπὶ τέλει[875] ὁμοίως κεῖται · « Πότιζε ὕδατι θείου ἀθίκτου, καὶ ἔσται ξανθὸν,[876] ἀσκίαστον. » Δηλονότι καείς.

6. Αὕτη οὖν καῦσις, αὕτη λεύκωσις ἢ ξάνθωσις, αὕτη ἐν τοῖς[877] δυσὶν ἀσκίαστος · Οὕτως καίονται καὶ ἐκτινάσσονται τὸν χαλκὸν,[878] χρυσῷ ἴσον, ἀσκίαστον ποιήσετε, καὶ πρὸς δίπλωσιν ἀργύρου καὶ χρυσοῦ ἕτοιμον. Οὐδεὶς δὲ < πλὴν > τὴν πᾶσαν ὁδὸν ἐπιστάμενος δίπλωσιν κατεργάζεται · ἐπεὶ ὅμοιος τῷ τὰς σταφυλὰς ὄμφακας ὄντας[879] ἔτι τρύγοντι. Τινὲς τῷ παντὶ ὀστράκῳ ἐν ὑαλοῖς κύβοις ἑψοῦσιν καὶ[880] ὀπτῶσιν ἐπὶ τῆς κηροτακίδος · καὶ ταῦτα καλοῦσιν ληκύθια.[881] Ὁ Ἀγαθοδαίμων ἐν ταῖς λειώσεσιν ἰσχυρῶς καὶ ἰατρικῶς κολλούρια[882] ἀγωγῇ εἶπεν λειοῦσθαι.

7. Αὕτη οὖν ἐστιν καῦσις σώματων · οὗτος ὁ περὶ σταθμῶν λόγος · αὕτη καλεῖται καῦσις, λεύκωσις. Ἡ δὲ τοῦ θείου αὕτη καλεῖται λεύκωσις καὶ ἀσκίαστος · ἡ λεύκωσις αὕτη καλεῖται ἴωσις,[883] (f. 156 r.) καὶ ἐξίωσις καὶ λεύκωσις. Πάλιν δὲ καὶ εἰς δεύτερον καλεῖται λεύκωσις ξάνθωσις, καὶ ἀσκίαστος ξάνθωσις, καὶ ἴωσις,[884] ξάνθωσις. Καὶ ὁ προφήτης Χίμης χορεύων, μετὰ ἐξεπιβολὰς ἔλεγεν[885] · δεὶς [ἔλεγεν] αὐτὸν ἄσκιον ξανθὸν. Ἐξῆς δέ σοι ὁ περὶ θείου[886] ὕδατος καὶ ἰώσεως ἤτοι σήψεως λαληθήσεται τρόπος.

*
**

1.1.26 3. — 25. ΠΕΡΙ ΘΕΙΟΥ ΥΔΑΤΟΣ.[887]

Transcrit sur M. f. 156 r. — *Collationné sur* B, f. 143 r. ;— *sur* A, f. 129 v. ;— *sur* K, f. 26 v. ;— *sur* E, f. 70 v. ;— *sur* Lb, p. 267. — *Les variantes et restitutions de* M *ont été reportées en marge de* K. — *Chap.* 48 *de la compilation du Chrétien dans* E Lb.

1. Πρῶτον δεῖξαι δεῖ ὅτι σύνθετον τὸ ὕδωρ τοῦ θείου ἐκ πάντων τῶν ὑγρῶν, ἔχον τὴν σύγκρασιν, καὶ διὰ πάντων τῶν ὑγρῶν ὀνομάζεται.[888] Καθάπερ τὸ στε-

874. τῆς νεφέλης (en signe) M.
875. τοῦ κιναμώμου M. — Μώσεως B etc. — ἐπιτελείτω M ; ἐπιτέλει BAKE ; om. Lb. Corr. conj.
876. M mg. : ·)(· avec renvoi à ἄθικτον. — ξανθὸς, ἀσκίαστος Lb, f. mel.
877. M mg. : ξα (à l'encre noire).
878. F. l. ἀσκιάστωσις. (Cp. l. 19). — F. l. καίοντες καὶ ἐκτινάσσοντες.
879. ὅμοιος ἔσται Lb seul. — ὄντας] οὔσας Lb.
880. ὑέλοις M ; ὑαλίνοις Lb.
881. ὄπτουσι M, ici et presque partout. — λεκύθια mss. excepté Lb.
882. F. l. ἰσχυρᾷ καὶ ἰατρικῇ. — Lire κολλύρια.
883. ἀσκιάστωσις B etc., f. mel. — M mg. : ἰω.
884. λεύκωσις] F. l. καῦσις (*M. B.*). — Lire ἀσκιάτωσις (*M. B.*).
885. Καὶ ὁ πρ. δὲ Χύμης Lb. — χορεύων] F. l. ἀγορεύων. — ἒξ ἐπιβολὰς BAKE.
886. ἔλεγεν · δεὶς ἔλεγεν αὐτὸν ἄ. ξ.] δὶς αὐτὸν ἄ. ξ. BAK ; ἔλεγεν δὶς (mot biffé) αὐτὸν ἄ. ξ. E ; ἔλεγεν αὐτὸν ἄ. ξ. Lb.
887. Titre dans BAK : περὶ θείου ἀθίκτου ὕδατος ;— dans Lb : περὶ ὕδατος θείου ἀθίκτου.
888. M mg. : ὥ (pour ὧδε), à l'encre noire.

ρεὸν σύνθεμα δι' ἑνὸς ἑκάστου αὐτῶν εἴδους ἐκάλεσεν,[889] οὕτως καὶ τὸ ὑγρὸν δι' ἑνὸς ἑκάστου ὑγροῦ ὕδωρ θεῖον, διὰ δὲ μυρίων[890] ὀνομάτων τὰ δύο συνθέματα καλοῦσιν. Καλεῖται ὕδωρ θεῖον δι' ἅλμης, διὰ ὕδατος θαλασσίου, διὰ οὔρου ἀφθόρου, δι' ὄξους, δι' ὀξάλμης,[891] δι' ἐλαίου κικίνου, ῥεφανίκου, βαλσάμου, γάλακτος γυναικὸς ἀρρενοτόκου, καὶ γάλακτος βοὸς μελαίνης, καὶ δι' οὔρου δαμάλεως, καὶ προβάτου θηλείας · τινὲς οὔρου ὀνείου · ἄλλοι καὶ ὕδατος ἀσβέστου, καὶ μαρμάρου,[892] καὶ φέκλης, καὶ θείου, καὶ ἀρσενίκου, καὶ σανδαράχης, καὶ νίτρου,[893] καὶ στυπτηρίας σχιστῆς, καὶ γάλακτος πάλιν ὀνείου, καὶ αἰγείου, καὶ κυνίνου · καὶ ὕδατος σποδοκράμβης, καὶ ἄλλων ὑδάτων ἀπὸ σποδοῦ[894] γινομένων · ἄλλοι καὶ μέλιτος, καὶ ὀξυμέλιτος, καὶ ὄξους, καὶ νίτρου,[895] καὶ ὕδατος ἀερίου, καὶ Νείλου, καὶ ἄρκτου, καὶ οἴνου ἀμηναίου,[896] καὶ ῥοϊτοῦ, καὶ μορίτου, καὶ σικερίτου καὶ ζύθου · καὶ ἵνα μὴ τὰ πάντα ἀναγινώσκω, διὰ παντὸς ὑγροῦ.[897]

2. Καὶ τὸ λευκὸν καὶ τὸ ξανθὸν πολλάκις ἐκάλεσαν οἱ παλαιοὶ διαφόρως. Δοκεῖ μοι ὅπως ὁ φιλόσοφος Πηβίχιος διέσταλκε τῷ φιλοσόφῳ ἐπὶ[898] τῶν ξανθῶν ζωμῶν · « ἄ- (f. 156 v.) νες οἴνῳ ἀμηναίῳ. » Ὅπερ οἴνῳ νέῳ[899] πάσαις ταῖς λευκώσεσιν οὐ κατέλεξαν ζωμόν. Πηβίχιος δὲ · « Σίκερα[900] καὶ μορίτην καὶ ῥοίτην, πλὴν οὕτω διαστείλαντες οὐδὲν ὠφέλησαν τοὺς[901] ἀκροατὰς, πάνυ δυσνοήτως οὕτως · ἓν γὰρ ἕκαστον εἶδος οἰκονομῶν[902] ὁ φιλόσοφος διὰ λευκώσεως καὶ ξανθώσεως οἰκονομεῖ, καὶ διὰ τῶν δύο ὧν προήκουσας, καύσεων ἢ ἑψήσεων. Φησὶν οὖν ἐπὶ τοῦ πυρίτου[903] · « Λαβὼν πυρίτην, οἰκονόμει, λείου ἢ ὀξάλμῃ καὶ τοῖς ἑξῆς » ὃ αἰνίττεται ὕδωρ θεῖον λευκόν. Εἶτα ἐπὶ τῆς κινναβάρεως · « Τὴν κιννάβαριν[904] ποίει λευκὴν δι' ἐλαίου ἢ ὄξους καὶ μέλιτος καὶ τῶν ἑξῆς. » Ἐπὶ δὲ τοῦ[905] ἀνδροδάμαντος · « Ὁμοίως πάλιν, ἅλμῃ ἢ ὀξάλμῃ. » Εἶτα ἐπιφέρει · « Ἕψει ὕδωρ θείου ἀθίκτου, ἵνα γνῷς ὅτι ὕδατα θαλάσσια, καὶ οὖρον,[906] καὶ ὄξος, καὶ τὸ ἐν τῇ κινναβάρει ἔλαιον, καὶ μέλιτος, ὕδωρ θεῖόν ἐστιν. Δι' ἑνὸς γὰρ εἴδους τὸ ὅλον αἰνίττεται.

3. Ὕστερον ἐν τῷ ἀνδροδάμαντι κηρῦξαι θέλων ἔλεγεν · « Ἕψει ὕδωρ θείου

---

889. F. l. ἐκάλεσαν. — ὕδωρ θεῖον] ὕδωρ et le signe de θεῖον M ; ὕδατος θείου E. ὕδωρ θείου Lb. — ὑγροῦ ὑδ. θ. om. BAK. — ὕδωρ θεῖον jusqu'à σικερίτου καὶ ζύθου (l. 16)] Cp. 3, 29, 14 (= ⋆).

890. διὰ δὲ μυρ. ὀν. κ. τ. λ.] ὅτι τὰ δύο συνθέματα καλ. πολλοῖς ὀνόμασιν οἷον ὕδωρ ἅλμης ⋆.

891. διὰ ὕδ. θαλ. om. ⋆.

892. θήλεος Lb. — τινὲς] καὶ ⋆. — ἄλλοι καὶ om. ⋆. — ὕδατος (en signe)] ὕδωρ ⋆.

893. καὶ φ. κ. σανδ. κ. στ. σχ. κ. νίτρου ⋆.

894. κυκίνου B etc. F. l. κυνικοῦ.

895. ἄλλα καὶ M ; ἄλλοι BAK ; ἀλλὰ καὶ Lb ; om. ⋆.

896. καὶ ἄρκτου καὶ σαπφείρου ⋆.

897. F. l. ἀναμιμνήσκω.

898. Δοκεῖ — Πηβίχιος] Ἀπορῶ δὲ πῶς ὁ Πηβήχιος ὁ φιλ. Lb. — διέσταλκε] επ au-dessus de δι E. — ἐπὶ] περὶ Lb.

899. ὅπερ ὡς BAKE.

900. ἐν πάσαις δὲ τ. λ. E.

901. ῥοίτην εἶπον Lb.

902. πάνυ γὰρ δυσν. ἐλάλησαν Lb. — ἐν M.

903. F. l. καύσεως ἢ ἑψήσεως.

904. θείου Lb. — ἐ. τ. κινναβ. φησίν Lb.

905. ἢ] καὶ Lb.

906. ὕδωρ] ὕδατι Lb.

ἀθίκτου · τὰ γὰρ αὐτὰ ὑγρὰ καὶ ὕδατά εἰσιν ἀθίκτων · καὶ τῶν δι' ἀσβέστου ἐπιβολῶν ἀμειβουσῶν καὶ τὸ χρῶμα καὶ τὸ ὄνομα, ἐν μὲν τῷ θείῳ τῷ λευκῷ, « γῆ χεία καὶ ἀστερίτης καὶ ἀφροσέληνον [907] ἐν τῇ τάξει τοῦ χαλκοῦ · » ἐν δὲ τῷ ξαντῷ · « ἐπίβαλλε ὤχραν [908] ἀττικὴν, σινώπην ὀπτὴν ποντικὴν καὶ τὰ ὅμοια. » Πάλιν τε ἐπὶ τῆς [909] χρυσοκόλλης · « Πυρῶν καὶ ποτίζων αὐτὴν ἐλαίῳ ἕως ἑπτάκις. [910] » Καὶ ἐν χρυσοποιΐᾳ ἕκαστον αὐτῶν προελεύκανεν. Ὁμοίως καὶ τὴν λιθάργυρον ἐν τοῖς ἀμφοτέροις συνθέμασιν · πλέω γὰρ δύο ἑψήσεων [911] οὐ γίνεται ἐν τῇ κατενεργεία · ἀλλὰ καὶ τὴν νεφέλην καὶ τὴν λιθάργυρον [912] ἐν τοῖς ζωμοῖς μέλιτι λευκοτάτῳ ἀναλαμβάνει. Καὶ οὐ παρέλειψέν τι τῶν ὑγρῶν, ἀλλ' ἐν τοῖς ἀμφοτέροις συνθέμασιν · συνέθετο γὰρ λύσιν κομάρεως καὶ ῥάκινον, (f. 157 r.) καὶ δι' ἐλυδρίου σκευαστοῦ γίνεσθαι ἔλεγε σύνθετον τὸ ὕδωρ τοῦ θείου · καὶ τὴν [913] χρυσόκολλαν κελεύει ζέννυσθαι ὕδωρ μαρμαρικῆς ἀσβέστου ἐλαίῳ [914] · καὶ τὸν πυρίτην σὺν μέλιτι ὕδωρ θεῖον διὰ τῶν τεσσάρων βιβλίων [915] διαφόρως διέρχεται οἰκονομῶν, ἐν μὲν τῷ ἀργύρῳ « γῆν χείαν, ἀστερίτην [916] καὶ ἀφροσέληνον, καὶ τῆς ἰδίας αὐτοῦ ἐπιβολῆς » · ἐν δὲ τῷ [917] ξανθῷ, « σινώπην, ὤχραν ἀττικὴν, καὶ λιθοφρύγιον, ἐὰν εὕρῃς » · ἐν δὲ τοῖς λίθοις, « αἷμα τράγου καὶ χυλὸν ἁλικακάβου · » ὕστερον δέ · « εἴ πώ [918] τι χρήσιμον · τὰ θειώδη ὑπὸ τῶν θειωδῶν κρατεῖται, καὶ τὰ ὑγρὰ ὑπὸ [919] τῶν καταλλήλων ὑγρῶν · τὰ γὰρ θειώδη ὑπὸ τῶν θειωδῶν κατέχεται. [920] »

✳
✳✳

1.1.27 3. — 26. ΠΕΡΙ ΣΚΕΥΑΣΙΑΣ ΩΧΡΑΣ. [921]

Transcrit sur M, f. 157 r. — *Collationné sur* B, f. 144 v. ;— *sur* A, f. 131 r. ;— *sur* K. f. 27 v., *puis* 108 r ;— *sur* E, f. 73 r. ;— *sur* Lb, p. 277. — *Les variantes et restitutions de* M *ont été reportées en marge de* K. — *Chap.* 49 *de la compilation du Chrétien dans* E Lb.

907. γῆν etc. (accusatif partout) Lb.
908. τοῦ χαλκοῦ λέγει Lb. — ἐπίβαλε, φησὶν Lb.
909. τε] δὲ Lb ; om. BAK.
910. ἐλαίων M ; ἔλαιον B etc. Corr. conj.
911. M mg. : ἕψησις sur une ligne verticale, en lettres retournées.
912. ἐνεργείᾳ B etc.
913. ἔλεγε γὰρ (om. E) τὸ ὕδ. τοῦ θ. συνθ. ἐστι Lb.
914. ζευγνύσθαι B etc. — σὺν ἐλαίῳ B etc.
915. τὸ δὲ ὕδωρ τοῦ θείου Lb seul.
916. ἐν μὲν τῇ, puis le signe de l'argent MBAKE ; ἐν μὲν τῷ λευκῷ Lb. F. l. ἐν μὲν τῇ ἀργύρου < βίβλῳ. > — « C'est le livre de l'argent, c'est-à-dire du blanc. » (*M. B.*)
917. καὶ τὴν etc. (accusatif partout) Lb.
918. εἶπω MBAKE ; λέγω Lb.
919. τὰ θεώδη — ὑγρῶν] Cp. p. 142, l. 21. — κρατεῖται] κατέχεται B etc.
920. κατέχεται] κρατεῖται B etc.
921. σκευασίας] σημασίας mss. Corr. conj.

1. Σκευασία ὤχρας γίνεται ἐν τῷ ὄρει τῆς Ἁδριανοῦ πλαγίας[922] λεγομένης. Ἐκεῖ λακήματα τοῦ ὄρους · καὶ διὰ τῶν ῥαγάδων θεωρήσεις ζώνας ὤχρας πλακώδεις. Γίνεται δὲ καὶ εἰς Βαβυλωνίαν εἰς[923] τὸ ὄρος. Θεωρεῖς διὰ τῶν ῥαγάδων · ἀρῶνται καὶ ὀπτῶσιν, καὶ γίνεται[924] μίλτος, ὅντινα καὶ σινώπην καλοῦσιν. Ἡμεῖς δὲ οὐδὲ αὐτῇ τῇ ὤχρᾳ χρώμεθα, οὐδὲ ταύτῃ τῇ σινώπῃ, ἀλλὰ ὤχρα μὲν ἡ ἀληθὴς[925] βαφὴ ἔσται · πλὴν τὸ προκείμενον ἤτοι σῶμα μαγνησίας, ἤτοι μέλας μόλυβδος.

2. Καὶ οἵαν τάξιν λέγουσιν χωρὶς τῶν βαφικῶν, περὶ αὐτῆς λέγουσιν[926] πᾶσαι αἱ γραφαί. Εἴ ποτε οὖν ἀναγιγνώσκεις οἱανδήποτε τάξιν, ἐν τούτῳ τοίνυν ἔχε, καὶ θηράσεις πρᾶγμα τὸ ζητούμενον, μάλιστα[927] ἐὰν Μαρίᾳ καὶ τῷ φιλοσόφῳ ἀκολουθήσῃς. Καὶ γὰρ πυρίτας, κιννάβαριν ὁ φιλόσοφος, ἢ κλαυδιανὸν, ἢ καδμίαν, ἢ ἀνδροδάμαντα, ἢ χρυσόκολλαν · ἢ ὅτι δεῖ ὑπὸ τὸν μολυβδόχαλκον, κιννάβαριν, σῶμα[928] μαγνησίας ὃ λέγεται μέλας μόλυβδος. Κἄν τε πάλιν ἐν τῇ χρυσοποιΐᾳ ἀπέλθῃς καὶ εὑρήσῃς αὐτὰ κασσίτερον σκορπίζοντα ἢ σίδηρον[929] ἢ χαλκὸν κιννάβαριν ὄντα, ἢ λιθάργυρον λευκὴν, σὺ πάλιν τὸ σὸν[930] νόει, τῇ μαγνησίᾳ τὸν μολυβδόχαλκον ἢ μόλυβδον τὸν μολυβδόχαλκον.[931] Κἂν γὰρ ἀργυροποιΐαν λέγουσιν, ἢ χρυσοποιΐαν (f. 157 v.) περὶ τοῦ μολυβδοχάλκου λέγουσιν · ὅπερ ἀπαρτίσαντες ἔχουσιν ἀποκείμενον[932] · καὶ ὅτε θέλουσιν, σκορπίσαντες πήσσουσιν · καὶ τότε λευκαίνουσιν ἢ ξάνθουσιν ἄρρευστον αὐτοῖς.

3. Λευκαίνουσι δὲ θεῖον, καὶ λειώσαντες ἔχουσιν εἰς τὰ ἑπόμενα[933] τοῦ ἀποτελέσματος · ταύτην τὴν μετὰ θείου καὶ ὑδραργύρου καλοῦσιν[934] καῦσιν · καὶ χαλκὸν κεκαυμένον τὸν αὐτὸν, ὡς καὶ λεύκωσιν αἱμωπὸν,[935] κατὰ τὴν ἐπιφάνειαν, καὶ κατὰ τὸ βάθος ἔχων εὑρίσκεται.[936] Τοῦτο οὖν λέγουσι καῦσιν · διὰ δὲ τούτου τὸ ὅλον σύνθεμα αἰνιττόμενος, τὰς εἰς ἀμφοῖν αὐτοῦ λειώσεις ἐμήνυσεν, ὀρθῇ ὁδῷ χρησάμενος, πρῶτον τὸ λευκαίνειν εἴρηκεν, ἔπειτα τὸ ξανθῶσαι.

✳
✳✳

922. σκευασία] σημασία mss. Corr. conj. — Réd. de E Lb : ἡ σημασία καὶ ἡ συλλογὴ τῆς ὤχρας γίν. ἐν τῷ ὄ. τοῦ Ἀδριατικοῦ (Lb seul) πελάγους · συλλεγομένη (Lb seul) ἐκεῖ κατὰ λακκήματα τοῦ ὄρους.

923. Βαβυλῶνα B etc. — εἴς τι ὄρος Lb seul.

924. ἢ θεωρεῖται Lb. — αἴρουσι δὲ ταύτην καὶ ὀπτ. Lb.

925. M mg. ωχ (à l'encre noire). — ταύτης τῆς σινώπης M.

926. οἵαν δήποτε Lb mel.

927. ἐν τούτῳ ἔχε τὸν νοῦν Lb.

928. ὅ τι δεῖ Lb.

929. ἔλθῃς B etc. — κασσίτερον] ὑδράργυρον Lb seul.

930. τὸ σὸν] τὸ ... (lettres effacées) M.

931. νόει, ἤγουν τῆς μαγνησίας τὸν μολυβδόχαλκον ἢ τὸν μόλυβδον Lb seul.

932. ὅνπερ Lb.

933. θείῳ Lb seul.

934. M mg. : κράτει (à l'encre noire, sur une ligne verticale, avec renvoi à ἀποτελέσματος).

935. ὡς] ὥστε E.

936. ἔχων] ἔχον BAK ; ἔχον ουσιν et ειν superposés E ; ἔχειν Lb.

1.1.28 **3. — 27.** ΠΕΡΙ ΟΙΚΟΝΟΜΙΑΣ ΤΟΥ ΤΗΣ ΜΑΓΝΗΣΙΑΣ ΣΩΜΑΤΟΣ.

Transcrit sur M, f. 157 v. — *Collationné sur* B, f. 145 v. ;— *sur* A, f. 131 v. ;— *sur* K, f. 28 r. ;— *sur* E, f. 73 v. ;— *sur* Lb, p. 281. — *Les variantes et restitutions de* M *ont été reportées en marge de* K. — *Chap.* 50 *de la compilation du Chrétien dans* E Lb.

1. Πάλιν [937] τοὺς ἀρχαίους εἰς μέσον φέρωμεν · κιννάβαριν λέγουσιν [938] λοιπὸν τὴν λεύκωσιν τῆς μαγνησίας · ὡς καὶ τοὺς πρώην λόγους [καὶ] [939] οὓς ἔγραψα ἀργοὺς γενέσθαι · περὶ οὗ τὰ ὑπόστατα τέσσαρα σώματα [940] · καὶ ὅτι περὶ αὐτῶν ἔχει σταθμὸν, ὠμὸν καὶ ἑφθὸν τὸ σύνθεμα, καὶ διὰ τὸν λόγον τῆς μαγνησίας πάντα ἐκεῖνα ἀναδέξασθαι. Πῶς οὖν γίνεται [941] τὸ σῶμα τῆς μαγνησίας, εἰ ἔχει διαφορὰν κατὰ τὴν ταριχείαν ἡ λεύκωσις, οὕτως ὡς πρώην σοι εἶπον, ἀφεὶς ἀπέναντι τῆς καμίνου [942] ; Ἡ δὲ κάμινος καιέσθω τοῖς ξύλοις καὶ λεπύροις φοινίκων [καὶ] κωβαθίων. Ὁ γὰρ καπνὸς τῶν λεπύρων πάντα λευκαίνει. Ἐὰν οὖν λάβῃ τὸν καπνὸν, συλλαμβάνει ἡ μαγνησία καὶ λευκαίνεται.

2. Οὐκ ἐμνήσθημεν δὲ ἐν τῷ ἑβδόμῳ λόγῳ περὶ τῶν κωβαθίων τῶν [943] φοινίκων < ὅτι > ὀφείλομεν μαθεῖν πρῶτον ποίαν μαγνησίαν λέγουσιν [944] οἱ φιλόσοφοι, τὴν ἁπλῆν τὴν ἀπὸ Κύπρου, ἢ τὴν σύνθετον τὴν ἀπὸ τῆς ἡμῶν τέχνης ; ὅτι τὴν ἁπλῆν λειώσαντες, σύνθετον αἰνίττονται. [945] Ἔλεγον δὲ ὁμοῦ καὶ περὶ τῆς (f. 158 r.) ἁπλῆς. Οὕτω γὰρ ἐκρύβη ἡ τέχνη ἐκ τοῦ περὶ διπλῶν διαλέγεσθαι. [946]

3. Ὅτι ὁ φιλόσοφος Ἑρμῆς, μετὰ τὴν θαλασσίαν βάλλει νίτρον [947] καὶ ὄξος καὶ κνίπειον αἷμα, χυλὸν στύρακος, καὶ στυπτηρίαν σχιστὴν καὶ [948] τὰ ὅμοια · καί φησιν · « Ἄφες αὐτὴν ἀπέναντι τῆς καμίνου, ὡς προεῖπεν [949] λεπύροις φοινίκων κωβαθίων. Ὁ γὰρ καπνὸς φοινίκων τῶν κωβαθίων, [950] λευκὸς ὤν, πάντα λευκαίνει. [951] »

4. Ταῦτά φησιν ὁ Ἑρμῆς · Ὀφείλομεν εἰδέναι ὅτι τὸ νίτρον καὶ ὁ στύραξ [952] καὶ ἡ στυπτηρία σχιστὴ καὶ ἡ σποδὸς τῶν θαλλῶν τῶν φοινίκων, [953] τὸ λευκὸν θεῖόν ἐστιν ὃ λευκαίνει πάντα · τὸ δὲ κνίπειον αἷμα καὶ τὸ ὄξος, ὕδωρ θεῖον τὸ δι’

---

937. μέσην M. — A mg. : Παυφνουτίας καὶ Παυφνουτίου < π > υρίσεις ... ντὸς τοῦ λόγου.
938. [καὶ] om. B etc.
939. ὑποστατὰ mss. (Oxyton.) Cp. p. 148, l. 6 (note). — γενέσθαι λέγουσι Lb.
940. λέγουσιν ἀναδέξασθαι Lb seul.
941. εἶπον, πάλιν λέγω · ἄφες Lb. — ἄφες B etc. — (Cp. p. suiv., l. 1).
942. κοβαθίων M.
943. ὀφείλομεν δὲ Lb.
944. φανερὸν δὲ ὅτι Lb seul.
945. ἐκ τοῦ περὶ αὐτῶν διπλῶς διαλέγεσθαι B etc.
946. νίτρον en signe M ; signe du molybdochalque BAKE ; μολυβδόχαλκον en toutes lettres Lb.
947. κνίπιον M, ici et partout.
948. προεῖπον · ἡ δὲ κάμινος καιέσθω Lb, puis add. de Lb seul : τοῖς ξύλοις καὶ.
949. λεπ. τῶν κωβ. τῶν φοιν. Lb seul.
950. λευκὸς ὢν om. M.
951. ὀφ. δὲ, B etc. — Au-dessus de νίτρον et des autres noms : θεῖον en signe MB etc.
952. ἡ σποδιὰ τῶν αἰθαλῶν Lb. — M mg. : signes de νεφέλη et de θεῖον.
953. Signe du cinabre au-dessus de ἀσβέστου MBAK. — δι’ ἀσβέστου καὶ κινναβάρεως Lb.

ἀσβέστου · τὰ δὲ λέπυρα τῶν κωβαθίων [954] τῶν φοινίκων τὰ θειώδη εἰσὶν, μάλιστα ἀρσένικον, ὅπερ ἔοικεν [955] κωβαθίοις, τὸ χρυσίζειν. Καί φησιν · « Ὁ καπνὸς τῶν κωβαθίων [956] πάντα λευκαίνει, » ἅπερ κωβάθια θέλων διδάξαι ὁ φιλόσοφός φησιν · « Ὁ γὰρ καπνὸς τοῦ θείου λευκαίνει πάντα. [957] »

5. Πάλιν δὲ τὸν σποδὸν τῶν θαλασσίων τῶν φοινίκων σε θέλων [958] διδάξαι, ὁ φιλόσοφος, ὅ ἐστιν ὕδωρ θεῖόν φησιν οὕτως · « Ἀναλύσας ἐν ὕδατι < θείῳ > σποδῷ λευκίνων ξύλων, ἐν τῇ δευτέρᾳ τῶν λευκῶν [959] ζωμῶν, σποδὸν λευκίνων οὐκ ἔστιν ἁπλῶς, ἀλλ' ὕδωρ θεῖον [960] τὸ δι' ἀσβέστου, ὅπερ ἀπὸ σποδοῦ λευκῆς τῆς τοῦ μαρμάρου ἢ ἀσβέστου [961] γεγονέναι. Ὥσπερ οὖν τὰ θειώδη ἀπὸ τῶν κωβαθίων τῶν φοινίκων ἐρρήθη, ὡσαύτως καὶ τὸ ὕδωρ τοῦ θείου ἀπὸ θείου ἔχον τὴν σύνθεσιν, τὸ τηνικαῦτα καὶ αὐτὸ ἀπὸ τοῦ φοινικοῦ προσηγορεύθη. Ἔτι οὖν ἡ λεύκωσις τῆς συνθέτου μαγνησίας ἀπὸ θείου συνθέτου λευκοῦ, [962] καὶ ὕδωρ σύνθετον λευκοῦ τὸ δι' ἀσβέστου, ὧν τὴν σύνθεσιν ἐν τῷ [963] περὶ συνθέσεως λόγῳ, τὸν δὲ σταθμὸν ἐν τῷ περὶ σταθμῶν λόγῳ, [964] τὴν δὲ ὄπτησιν καὶ τῆς καμίνου ἀγωγὴν ἐν τῷ περὶ ὀπτήσεως λόγῳ. [965]

6. Καὶ ταῦτα μὲν περὶ λευκώσεως σώματος μαγνησίας (f. 158 v.). [966] Ἔξεστιν δὲ καὶ ὑμῖν τοῖς ἐχέφροσιν τὸ βέλτιον ἐπιβάλλεσθαι ἡμᾶς [967] καὶ ὠφελῆσαι, μᾶλλον δὲ κατ' ἐκείνου βαράθρου κατακρημνίσαι [968] ἡμᾶς. Ὁ γὰρ περὶ αὐτὴν τὴν διδασκαλίαν ἕτερόν τι λογιζόμενος, [969] ἐν σκότῳ μεγάλῳ ἀνεχόμενος, ψηλαφᾶν ταῖς χερσὶ τὸν ἀέρα ἔοικε, καὶ τὸν πόντον τοῖς ποσὶν, οἵ κενεμβατοῦντες καὶ εἰς αὐτὸν λαλοῦντες τὸν ἀέρα μάταια, διόλου τὸν τύπον τοῦ σώματος πρὸς τὴν ἰδίαν αὐτῶν ἐνέργειαν ματαιοπονούμενοι. [970]

7. Σὺ δὲ, ὦ μακαρία, παῦσαι ἀπὸ τῶν ματαίων στοιχείων, [971] τῶν τὰς ἀκοάς σου ταραττόντων. Ἤκουσα γὰρ ὅτι μετὰ Παφνουτίας τῆς [972] παρθένου καὶ ἄλλων τινῶν ἀπαιδεύτων ἀνδρῶν διαλέγῃ · καὶ ἅπερ ἀκούεις [973] παρ' αὐτῶν μάταια καὶ

954. τὸ θειῶδές ἐστι, μάλιστα τῆς σανδαράχης, ὅπερ Lb.

955. κωβαθίῳ, καὶ χρυσίζει. B etc. — Au-dessus de κωβαθίων, le signe du soufre B.

956. Au-dessus de θείου, le signe du mercure M.

957. τὴν σποδὸν B etc.

958. σποδοῦ Lb. F. l. σποδὸν.

959. σποδὸς Lb. — θείου Lb seul.

960. M mg. : μη puis le signe de l'or, avec renvoi à μαρμάρου. — τῆς τοῦ μαρμάρου γεγονέναι φησὶν ἢ ἀσβέστου Lb.

961. μαγνησίας λευκοῦ B etc.

962. F. l. λευκὸν. — ὧν M.

963. λόγῳ εἰρήκαμεν E. — M mg. : ερμ (Ἑρμῆς ?) en lettres retournées.

964. καὶ τὴν τῆς καμ. ἀγ. Lb.

965. λευκώσεως] λειώσεως B etc.

966. ἐπιβαλέσθαι B etc. ; E mg. : *alias* ἐπιβαλέσθαι. — M mg. : N° (νόει) puis le signe de l'or.

967. μᾶλλον δὲ μὴ B etc. F. l. μᾶλλον ἤ.

968. περὶ] παρὰ M. — οἱ γὰρ jusqu'à la fin du §]. Tous les nominatifs au pluriel Lb.

969. ματαιοπονούμενος M.

970. Zosime s'adresse à Théosébie.

971. ταραττουσῶν mss. ;— όντων au-dessus de ουσῶν E. — Ταφνουτίης M.

972. ἄλλων om. B etc., f. mel.

973. καὶ ἐκείνους διελεηθῆναι B etc. — Le mot διελεηθῆναι termine le fol. 28 du ms. K. La suite est à la première ligne du fol. 108.

κενὰ λογύδρια, πράττειν ἐπιχειρεῖς. Παῦσαι οὖν ἀπὸ τῶν τε τυφλωμένων τὸν νοῦν καὶ ἄγαν καιομένων.[974] Καὶ γὰρ κἀκείνους ἐλεηθῆναι δεῖ καὶ ἀκοῦσαι τὸν λόγον τῆς ἀληθείας, καθώς εἰσιν ἄξιοι. Ἐπειδὴ καὶ αὐτοὶ ἄνθρωποί εἰσιν, ἀλλ᾽ οὐ βούλονται ἐλέους ἐπιτυχεῖν, οὐδὲ παρὰ διδασκάλων ἀνέχονται διδάσκεσθαι, καυχώμενοι διδάσκαλοι εἶναι, ἀλλὰ καὶ τιμᾶσθαι βούλονται ἐκ τῶν ματαίων αὐτῶν καὶ κενῶν λογυδρίων. Καὶ διδασκόμενοι βαθμοὺς ἀληθείας, τὴν τέχνην οὐκ ἀνέχονται, οὐδὲ πέπτουσιν, χρυσοῦ μᾶλλον ἢ λόγων ἐπιθυμοῦντες · καὶ ἀπὸ θερμότητος καὶ πολλῆς ἀνοίας, ἄμοιροι γίνονται τῶν λόγων καὶ τῶν χρημάτων. Εἰ γὰρ ἡνιοχοῦντο ὑπὸ[975] τοῦ λόγου, εἵπετο ἂν αὐτοῖς καὶ ἠκολούθει ὁ χρυσός · ὁ γὰρ λόγος[976] δεσπότης ἐστὶν τοῦ χρυσοῦ, καὶ ὁ τοῦτον προσπίπτων καὶ ποθῶν καὶ[977] προσκολλώμενος εὑρήσει τὸν χρυσὸν τὸν ἔμπροσθεν ἡμῶν κείμενον, σκολιῶς διακεκρυμμένον.

8. Ὁ οὖν λόγος δείκτης ἐστὶν πάντων τῶν ἀγαθῶν, ὡς καθώς πού φησιν, ἡ φιλοσοφία γνῶσις ἐστὶν ἀληθείας, εἰ ὄντα εἰσίν · καὶ ἐάν τις[978] τὸν λόγον δέξηται, ἕ- (f. 159 r.) ξει αὐτὸν δεικνύοντα αὐτῷ ἐν τοῖς ὀφθαλμοῖς κείμενον χρυσόν. Οἱ δὲ μὴ ἀνεχόμενοι τῶν λόγων πάντοτε κενεμβατοῦσιν, γέλωτος ἰσχυρότερα ἔργα ἐπιχειροῦντες · οἷόν ποτε γέλωτα ἐκίνησεν Νεῖλος ὁ σὸς ἱερεὺς, μολυβδόχαλκον ἐν κλιβάνῳ[979] ὀπτῶν · ὥστε ἐὰν βάλῃς ἄρτους καίων κωβαθίοις πανημέριος τύχοις · καὶ τυφλούμενος τοὺς σωματικοὺς ὀφθαλμοὺς, οὐκ ᾤετο τὸ βλαβησόμενον, ἀλλὰ καὶ ἐφυσιοῦτο, καὶ μετὰ τὸ ψυγῆναι ἀνενέγκας, ἐπεδείκνυεν[980] τὴν τέφραν. Καὶ ἐπερωτώμενος ποῦ ἡ λεύκωσις, καὶ ἀπορήσας ἔλεγεν ἐν τῷ βάθει αὐτὴν δεδυκέναι. Εἶτα ἐπέβαλεν χαλκὸν, ἔβαπτεν σποδόν. Οὐδὲν γὰρ στερρὸν διατραπεὶς, ἀνέστη καὶ ἔφυγεν αὐτὸς ἐν τῷ βάθει, καθὼς ἡ λεύκωσις τῆς μαγνησίας. Ταῦτα δὲ ἀκούσας[981] παρὰ τῶν διαφερόντων Παφνουτία, ἀπὸ τοῦ πολλοῦ γέλωτος ἐκακώθη,[982] ὡς καὶ ὑμεῖς κακοῦσθε ἀπὸ ἀνοίας. Ἄσπασαί μοι Νεῖλον τὸν κωβαθηκαύστην, πλήρης.[983]

✶
✶✶

974. χρημάτων] ῥημάτων B etc.

975. εἰ μὴ γὰρ BAK. — M mg. : N° M.

976. ἠκολούθη M.

977. τούτῳ Lb.

978. φησὶν ὁ φιλόσοφος, ἡ φ. Lb. — ὅ. ἐστὶ B etc. — Réd. de Lb : ἡ φ. ἐστι γν. ὄντων (biffé E) ᾗ ὄντα ἐστὶ.

979. ὁ Νεῖλος Lb. — ὅσος MBA. Noter qu'une lettre de l'ascète Nilus (liv. 11, l. 15, éd. Allatius) est adressée à « Théosébius. »

980. F. l. ἐφυσιᾶτο.

981. F. l. ἀκούσασα.

982. παρὰ] περὶ B etc. — Ταφνουτίη M ; παφνουτ B ; παφνουτίου A ; πτ αφνουτίου K ; τῆς Παφνουτίας ELb.

983. κωβατικαύστην BAK ; κωβαθιοκαύστην ELb. — πλήρης (pleinement édifiée ?) περὶ οἰκονομίας < τοῦ > τῆς μαγνησίας σώματος M (signe final après πλήρης, d'une main plus récente).

1.1.29 3. — 28. ΠΕΡΙ ΣΩΜΑΤΟΣ ΜΑΓΝΗΣΙΑΣ ΚΑΙ ΟΙΚΟΝΟΜΙΑΣ < ΑΥΤΟΥ.[984] >

Transcrit sur M, f. 159 r. ;— *Collationné sur* B, f. 148 r. ;— *sur* A, f. 133 v. ;— *sur* K, f. 108 r. ;— *sur* E, f. 76 v. ;— *sur* Lb, p. 295. — *Les variantes et restitutions de* M *ont été reportées en marge de* K. — *Chap.* 51 *de la compilation du Chrétien dans* E Lb.

1. Ταῦτα μὲν ἡ Μαρία ἄρτους ὄνομα < τὸ σῶμα > τῆς μαγνησίας ἀφθόνως[985] καὶ φανερῶς ἐξέθετο. Ὁ γὰρ πρῶτος βαθμὸς ἀληθὴς τοῦ μυστηρίου[986] ἐν τούτοις διηγόρευται. Μαρία οὖν βούλεται εἶναι τοῦτο τὸ σῶμα τῆς μαγνησίας · καὶ οὐ μόνον εἰς ἕνα τόπον κηρύττει, ἀλλὰ καὶ εἰς πολλούς. Ἀμέλει ἐν ἄλλῳ τόπῳ φησί · « Χωρὶς τοῦ μέλανος μολύβδου, οὐδὲν γίνεται ὃ ἀπηρτίσαμεν καὶ ἐτελειώσαμεν σῶμα μαγνησίας.[987] » Αὗταί εἰσιν, φησὶν, αἱ διδασκαλίαι · καὶ οὐκ ἀποκάμνει, δεύτερον γὰρ καὶ τρίτον διδάσκουσα καὶ καλοῦσα σῶμα μαγνησίας, καὶ μέλανα μόλυβδον καὶ μολυβδόχαλκον, περὶ οὗ φησιν « κιννάβαρις ἢ μόλυβδος[988] ἐτήσιος λίθος. » Ἑξῆς ὁμορρευστήσαντα ποιεῖ πάντα χρύσοπτα δυνάμει,[989] τὰ ὠμὰ ὀπτὰ, ὀπτὰ διπλοῖ · δυνάμει, φησὶν, ποιεῖ πάντα χρύσοπτα[990] · οὔπω γὰρ ἐνεργείᾳ. Καὶ περὶ (f. 159 v.) μὲν τούτου ἕτερός μοι λόγος ἀναγραφήσεται, ἐν δὲ τῷ παρόντι < ἐπὶ > τοῦ προκειμένου γινώμεθα.

2. Ἐδείχθη οὖν τῇ Μαρίᾳ τὸ πᾶν σῶμα μαγνησίας τοῦτο μολυβδόχαλκος[991] μέλας · οὔπω γὰρ ἐβάφη, καὶ τοῦτο · καὶ μολυβδόχαλκος[992] · ὃ μέλλεις βάπτειν καὶ ἐπιβάλλειν αὐτῷ τὰ μωτάρια τῆς ξανθῆς σανδαράχης · ἵνα μηκέτι εἴη δυνάμει, ἀλλ' ἐνεργείᾳ χρυσὸς ὀπτός. Οὕτως ἡ Μαρία ἄρτους ὀνομάσασα τὸ σῶμα τῆς μαγνησίας · ὀφείλομεν[993] πρό γε πάντων δεῖξαι καὶ τὸν φιλόσοφον ταῦτα φρονοῦντα < περὶ > σώμα τῆς μαγνησίας, ὅπερ καὶ ΤΟ ΠΑΝ ἔλεγον · καὶ μέλανα μόλυβδον τοῦτο · μολυβδόχαλκος · Ἀλλ' ὅταν λέγωσι τὴν[994] ὑδράργυρον πήγνυσθαι μετὰ τοῦ τῆς μαγνησίας σώματος, δι' ὅλου[995] τοῦ σώματος ἔλεγον, ὅπερ κατηχήθη ἐν τῷ προτέρῳ μου ὑπομνήματι,[996] ὥσπερ ἡ Μαρία λέγει ἐν τῷ προλεχθέντι σώματι τῆς μαγνησίας. Καί φησιν · « Εὑρήσεις μόλυβδον μέλανα · τοῦτον ἄρας, χρῶ, μίξας αὐτῷ ὑδράργυρον. Ὃ δὲ καλοῦσιν αἱ τάξεις, τοῦτο ἐν προοιμίοις ὁ φι-

984. Titre dans Lb seul : Περὶ τοῦ σώμ. τῆς μαγν. καὶ τῆς οἰκ. αὐτῆς.
985. ὀνομάσασα B etc. — < τὸ σῶμα > [Cp. l. 19.
986. τοῦ μυστ. ὅλου ELb. (mots placés après διηγ. dans Lb).
987. ὃ] Lb seul mg. : « *Puto legendum* ᾧ, h. e., » puis les signes du plomb et du cuivre.
988. κιννάβαρις en signe M ; signe du cuivre BAK ; ὁ χαλκὸς ELb.
989. ποιεῖ] ποιοῦσι Lb.
990. καὶ τὰ ὠμὰ ὄπτα · τὰ ὀπτὰ διπλῆ δυν. π. φ. BAK ; καὶ τὰ ὠμὰ ὀπτὰ · καὶ διπλῆ δυν. π. φ. ELb. — F. l. τὰ ὠμὰ ὀπτᾷ, ὀπτὰ διπλοῖ δυνάμει, φησίν · ποιεῖ π. χρ.
991. Réd. de E Lb : τὸ πᾶν σ. κατὰ τὴν μαγνησίαν εἶναι καὶ τοῦτο μολυβδόχαλκός ἐστι μέλας (μ. ἐ. E).
992. Réd. de Lb : καὶ οὗτός ἐστιν κ. μολ. ὃν μ. β.
993. Réd. de Lb seul : οὕτως οὖν ὀνομ. ἡ Μαρία τ. σ. τ. μ. ἄρτους φαν. ἐξέθετο τὴν τέχνην · ὀφ. — ὀφ. δὲ B etc.
994. ταὐτὰ Lb.
995. μετὰ (f. l. σὺν) τῷ τ. μ. σώματι M.
996. κατήχθη MBAK ; κατελέχθη Lb seul. (Corr. de E.)

λοσόφος λέγει · ὑδράργυρον μῖξον τῷ τῆς μαγνησίας σώματι, [997] ὅτι μέλανα αὐτὸ οἶδεν ὁ φιλόσοφος, μόλυβδον, φησὶν ἐν τῷ πυρίτῃ [998] · οὐκ ἁπλῶς λέγει, ἵνα μὴ πλανηθῇς, ἀλλὰ « μέλανι τῷ ἡμῶν. » Ὅτι δὲ καὶ [999] μολυβδόχαλκον οὐκ ἀγνοεῖς, φησὶν, ὅτι μόνη ὑδράργυρος τὸν χαλκὸν [1000] ἀσκίαστον ποιεῖ. Οὐκέτι σῶμα μαγνησίας πήσσει, ἀλλὰ καὶ χαλκόν. [1001] Οὕτω καὶ ὁ φιλόσοφος τὸ πᾶν οἶδεν σῶμα μαγνησίας καὶ μόλυβδον [1002] μέλανα · καὶ μολυβδόχαλκος ἐν τοῖς βιβλίοις τῶν ἀρχαίων μεληδὸν [1003] ἀπεδόθη, κατὰ μίαν τάξιν κηρυττόμενος · διὰ ὑδραργύρου κηρύττεται [1004] διὰ παντὸς λίθου, καθὼς καὶ ἐν τοῖς πρώτοις προσεφώνησα.

3. Τοῦτο οὖν δυνάμει χρυσὸς ὀπτός ἐστιν. Καὶ ἐὰν λευκανθῇ ἢ ξανθωθῇ, [1005] τότε καὶ ἐνέργειαν ἔχει τὰ ὠμὰ μετὰ τῶν ὀπτῶν, τουτέστιν ἐὰν μὲν λευκὸν ἐπιβαλλόμενον χαλκῷ ὠμῷ, κυπρίῳ, ποιεῖ ἄργυρον [1006] · ἐὰν δὲ ξανθωθῇ, ἐπιβαλλόμενον ἀργύρῳ ὠμῷ κοινῷ, ποιεῖ χρυσὸν, [1007] χαλκάνθῳ βρέξας οἴνῳ ἀμιναίῳ < ἢ > ὄξει κοινῷ, ἔασον ἡμέρας ιδ΄, [1008] τοῦτο ἐστὶν τὸ ζητούμενον ἐπὶ τῆς τοῦ ἀργύρου ποιήσεως.

4. Ὡς πολλάκις ἀποτυγχάνουσι τῆς (f. 160 r.) οἰκονομίας, [1009] διὰ τὸ μὴ εἰδέναι τὸ ἀληθὲς τῆς λειώσεως. Τοιούτων οὖν καὶ ἐπὶ τῶν νεφελῶν [1010] ἐρρήθη ὅτι ἡ χάλκανθος ἐπὶ τὸ χρυσίζον ἄγει τὴν νεφέλην. Ὁμοίως καὶ ὁ Ἀγαθοδαίμων ἐν τῇ διδασκαλίᾳ τοῦ προβαφίου τοῦτο ἔλεγεν · « Ἵνα εἰδέναι ἔχῃς ὃ ἐνεργεῖς, ἐλθὼν εἰς τὴν χάλκανθον ἣν οἶδας, [1011] τὸ βαπτικὸν αὐτῆς τὴν νεφέλην ἐπὶ τὸν χρυσὸν ἄγει. Ἐφάνη οὖν ἡ [1012] ἀναγραφὴ περὶ ἐξιώσεως, ἐμνήσθη δὲ περὶ τῶν ἀμφοῖν ὅτι περὶ σταθμοῦ [1013] ὁ λόγος περὶ τῶν καλλίστων καὶ θεοφιλῶν λίθων καὶ λευκῶν, [1014] καὶ αἱμωπῶν · οὓς οἱ μὲν ἐκάλεσαν πυρίτην, ὡς πολύχροον καὶ πολυώνυμον, [1015] οἱ δὲ ἀλάβαστρον · οἱ δὲ καὶ ἀμφοῖν εἶπον πυρίτην ὃ καὶ ἀπεδειξάμην. [1016] Ἄλλος

997. ὑδράργυρον om. M.
998. αὐτὸν Lb. — φησὶ γὰρ Lb.
999. ἀλλὰ τῷ μολύβδῳ τῷ μελ. τ. ἡ. Lb seul.
1000. μολ. λέγει Lb. — φησὶ γὰρ Lb.
1001. ἧς οὐκέτι μόνον τὸ σ. ἡ μαγνησία πήσσει, ἀλλὰ καὶ τὸ τοῦ χαλκοῦ Lb. — πήσει M. — καὶ χαλκόν] καὶ om. M.
1002. μόλυβδον en signe M ; μολυβδόχαλκον en signes BAKE ; μόλυβδον χαλκοῦ Lb, puis : μέλανα καὶ μολυβδόχαλκον · ἐν δὲ τοῖς βιβλίοις ...
1003. βίβλοις M.
1004. ἀεὶ κηρυττ. · διὰ δὲ ὑδρ. Lb.
1005. ἢ] καὶ Lb.
1006. λευκὸν ἢ Lb.
1007. χρυσὸν om. M. — Réd. de Lb : χρυσόν · καὶ πάλιν λέγω βρίξας χάλκανθον οἴνῳ ἀμινέῳ, τουτέστι ὄξει κ.
1008. ἀμοινέῳ BAKE (qui corrige en ἀμηνέῳ).
1009. ὡς] διὸ Lb.
1010. τοιοῦτον B etc., f. mel.
1011. ἔχοις M ; ἔχεις AKLb. — ἐλθὼν γὰρ Lb. — τὸν χ. ὃν Lb seul.
1012. αὐτοῦ Lb seul. — ἄγει] λέγει M ; ἄγε Lb.
1013. ἡ ἀναγραφὴ] τῇ γραφῇ B etc. — ἀμφοτέρων Lb.
1014. αὐτῷ ὁ λόγος καὶ Lb.
1015. αἱμοπὸν ὢν M. — πολυχρόους καὶ πολυωνύμους BAKE ; om. Lb.
1016. M mg. : ⌶, avec renvoi à οἱ δὲ. — ἄμφω Lb seul.

γὰρ οὐκ ἂν εἴη κάλλιστος καὶ θεοφιλῆς,[1017] εἰ μὴ ὁ πυρίτης. »

5. Νῦν δὲ περὶ σώματος μαγνησίας ὁ λόγος πρόκειται · ὅτι περ τὰ πάντα ὑφ' ἓν γενόμενα μετὰ τοῦ ἀληθοῦς σταθμοῦ τῆς δεούσης ταριχείας · ἡ κιννάβαρις ποιεῖ τὸ ἀληθινὸν σῶμα μαγνησίας.[1018] Καὶ τοῦτο ἀληθῶς μὴ πλανῶν, ἤθελον κἀγὼ τηλικοῦτος εἶναι κατ' ἐκεῖνον[1019] τὸν εἰπόντα · « Ὦ γῦναι, οὐχ ἁπλῶς ἔλεγον, ἵνα μὴ πλανηθῇς. » Ἀλλ' ἐπειδὴ οὐκ εἰμὶ ὁ Δημόκριτος, ὠμνύω σε κατὰ τῆς ἐκείνου[1020] ἀρετῆς τοῦτο, ὅτι μὴ πλανῶ · καὶ αὕτη μετὰ τῶν τὴν ἀνεπίστροφον πλάνην πλανωμένων, καὶ λεγόντων ὅτι ὁ σπόρος ἀσώματος λέλεκται[1021] τὸ τῆς μαγνησίας σῶμα. Φησὶν αὐτῆς τὸ ἀσώματον ὑδράργυρον εἶναι.[1022] Φημὶ κἀγὼ ὅτι νενόηταί τι αὐτοῖς. Δείξουσιν τοιγαροῦν ἡμῖν τὸ ἀποτέλεσμα,[1023] ἐξ οὗπερ ὁ νοῦς αὐτῶν συσταθμίζεται. Ἀλλ' οὔτε ἀποτέλεσμα ἔχουσιν · οὐ γὰρ σῶμα μαγνησίας ἐλέχθη ὁ σπόρος, ἀλλ' ἀσώματον.[1024] Καὶ γὰρ ἡ ὑδράργυρος σῶμα. Κἂν λεπτομερές μοι τοῦτο[1025] εἴπῃς τὰ ὅλα σώματα, ἆρα οὖν ὁ σπόρος τῶν ἀσωμάτων ἐλέχθη σῶμα μαγνησίας ; οὔ, ἀλλὰ τί βούλεται ; ἐπειδήπερ θειώδη ὄντα φεύγουσιν.[1026] Τὸ τηνικαῦτα οὖν κρατηθέντα καὶ μηκέτι φεύγοντα, σῶμα (f. 160 v.) προσαγορεύονται · ἀφ' οὗ καὶ ἡ Μαρία · « τὸ σῶμα τῆς μαγνησίας τὸ ἀπόκρυφον, φησὶν, ἐκ μολύβδου καὶ ἐτησίου καὶ χαλκοῦ γίνεται.[1027] »

6. Λοιπὸν ὅσα ὅμοια τοῖς φεύγουσι συγκραθέντα, σῶμα προσαγορεύονται[1028] · οἷον ἐπὶ τῆς ὑδραργύρου ἐν τοῖς λευκοῖς ζωμοῖς φησι · « Πρόσμιξον αὐτὴν στυπτηρίαν σχιστὴν ἢ μόλυβδόχαλκον, ἢ ἄσβεστον,[1029] ἵνα γένηται σῶμα ἡ ἀσώματος. Πάλιν ἐπὶ τῆς χρυσοκόλλης. Καὶ γὰρ καὶ αὐτὴ φεύγει · ἀφ' οὗ καὶ ὁ Ἀγαθοδαίμων · « Πρόσεχε, φησὶν, ἵνα μὴ τὸ πνεῦμα αὐτῆς τὸ βαπτικὸν φύγῃ. » Καὶ αὐτὴν φευκτὴν οὖσαν σῶμα καλοῦσιν · συγκραθεῖσαν ὁ φιλόσοφός φησιν ἐν[1030] τῇ τάξει τῆς χρυσοκόλλης. Ἐπιβάπτε πᾶν σῶμα χαλκῷ, ἀργύρῳ,[1031] χρυσῷ. Ἡ Μαρία περὶ τῆς χρυσοκόλλης, μολυβδόχαλκόν φησι · μονοήμερον οὐγγιάσας, ἢ λαβὼν, φησὶν, χρυσοκόλλαν καὶ κιννάβαριν,[1032] συλλείου αὐτῇ λιθάργυρον λευκὴν καὶ κατάσπα. Καὶ ἐὰν στραφῇ καὶ[1033] γένηται σῶμα χαλκοῦ, ἐπίβαλλε χρυσάνθιον, καὶ ἔσται χρυσός. Λοιπὸν καὶ ἡ χρυσοκόλλα χρηματίζει συγκραθεῖσα καλῶς, καίτοι καὶ

1017. ἄλλως E.
1018. ἡ] ἢ MELb. — κινναβάρεως Lb. — σῶμα τῆς μαγνησίας B etc.
1019. κατὰ τοῦτο ἀληθῶς μὴ πλανῶ Lb.
1020. ὄμνυμί σοι B etc.
1021. ἀσώματον mss. Corr. conj.
1022. καὶ τὸ τῆς μαγνησίας σῶμα Lb. φασὶν, Lb seul.
1023. τι] τις BA ; τοῖς ELb. — δεῖξον B etc.
1024. ἔχουσιν οὔτε ἄλλο τι · οὐ γὰρ Lb.
1025. λεπτόμερόν M. F. l. λεπτομερῶς.
1026. οὐκ B etc., mel.
1027. M mg. : ὧδε, à l'encre noire (15e siècle).
1028. ὅσα εἰσὶν ὅμ. Lb. — συγκραθέντα] συναχθέντα Lb.
1029. αὐτῇ Lb, mel.
1030. M mg., sur une ligne verticale : N° ἀλη (νόει ἀληθές ?).
1031. χαλκοῦ etc. (génitif partout) Lb seul ; signes dans les autres mss.
1032. οὐγκιάσας M. — φησὶν] μέρος Lb. — χρυσοκόλλης B etc. — κινναβάρεως Lb seul ; signe dans les autres mss.
1033. ἐστραφῇ M ; ἐκστραφῇ B etc.

αὕτη φευκτὴ οὖσα, ὅτι καὶ αὐτὴν ποιήσεις σῶμα διὰ τῆς στροφῆς.

7. Οὐκοῦν τὸ στρέψαι ἢ ἐκστρέψαι παρ' αὐτοῖς ἐστιν, ἵνα τὰ [1034] ἀσώματα, τουτέστιν τὰ φεύγοντα, σωματωθῇ, καὶ κατασπασθεὶς γένηται [1035] μολυβδόχαλκος ὁ μέλας μόλυβδος ὁ μέλλων οἰκονομεῖσθαι μετὰ τῆς ὑδραργύρου, καὶ γένηται σῶμα μαγνησίας. Καὶ οὐχ ὥς τινες τὴν [1036] ἐκστροφὴν τὸ στρέψαι καὶ ἐκστρέψαι ὑδράργυρον βούλονται · ἀλλ' ὅταν σωματωθῶσιν τὰ φεύγοντα, ὡς ἐπὶ πάντων τῶν σωμάτων, [1037] ἡ στροφὴ εἰς τὸ λευκὸν ἢ εἰς τὸ ξανθόν. Καὶ γὰρ αὕτη ἡ στροφὴ ἐκτροφὴ [1038] καλεῖται, μετὰ τὸ σωματωθῆναι τὰ ἀσώματα, ὥσπερ < κατὰ > τὴν τέχνην, ὡς πρὸς τὸ πῦρ ἐν τῇ παλιντροπῇ, τουτέστιν τῇ λευκώσει ἢ ξανθώσει λειούμενα σφόδρα καὶ πυρὶ προσομιλοῦντα πάλιν ἐξαιθαλοῦνται, [1039] καὶ γίνονται ἀσώματα. Εἰώθασιν γὰρ πάνυ λελειωμένα εἶναι. Αἰθάλη δὲ, ὡς πρώτη ἀσώματος, (f. 161 r.) ὡς πρώτην τέχνην λέγει. [1040]

8. Ἀπὸ ἀσωμάτων οὖν καὶ πάλιν σωματοῦνται μετὰ τὴν ὑδράργυρον [1041] ἐν τῇ ἰώσει, ἵνα γένηται σώματος. Καὶ σαπέντα ἀσωματοῦνται, [1042] ἔχοντα καλῶς ἐνεργοῦντα χωρὶς πυρός. [α΄] Ἀλλαχοῦ ἐλέχθη [1043] · χολαὶ καὶ τὰ ὅμοια, ἅπερ καὶ αὐτά εἰσιν < μετὰ > τοῦ θείου ἤγουν μετὰ θείου ὕδατος. Τί δὲ ἄλλο καλῶς ἐνεργεῖ χωρὶς πυρὸς, ἢ ὕδωρ θεῖον [1044]; ἀφ' οὗ καὶ Πηβίχιος ὅτι παντὸς πυρὸς δυναμικώτερον καὶ ἐν τοῖς θείοις, ὅτι χωρὶς πυρὸς δρᾷ. Καὶ Μαρία · « τὸ πύρινον φάρμακον. [1045] » Καὶ πάλιν λέγει ὅτι « εἰ μὴ τὰ σώματα ἀσωματωθῇ, καὶ τὰ ἀσώματα σωματωθῇ, οὐδὲν τῶν προσδοκωμένων ἔσται, » τουτέστιν, ἐὰν μὴ τὰ πυρίμαχα συγκραθῶσιν μετὰ τῶν φευγόντων τὸ πῦρ, οὐδὲν ἔσται τῶν προσδοκωμένων.

9. Τί οὖν ἄρα καὶ τὰ σώματα καὶ τὰ ἀσώματα τῆς ἡμῶν τέχνης [1046]; Ἀσώματα μὲν πυρίτης καὶ τὰ ὅμοια, μαγνησία καὶ τὰ ὅμοια, ὑδράργυρος καὶ τὰ ὅμοια, χρυσόκολλα καὶ τὰ ὅμοια, πάντα ἀσώματα [1047] · τὰ δὲ σώματα χαλκὸς, σίδηρος, κασσίτερος, μόλυβδος [1048] · ταῦτα οὐ φεύγουσι τὸ πῦρ · ταῦτα σώματα. Ἐπὰν ταῦτα ἐκείνοις [1049] συγκραθῶσι, γίνονται τὰ σώματα ἀσώματα, καὶ τὰ ἀσώματα, σώματα. Οὕτως πρόσμισγε ὑδράργυρον ἣν καλοῦσιν αἱ τάξεις, καὶ ποιεῖς πᾶν προσδοκώμενον, περὶ οὗ ἔλεγεν ἡ Μαρία · « Ἐὰν μὴ τὰ δύο γένηται ἓν, τουτέστιν, ἐὰν μὴ

1034. ἢ] καὶ Lb.
1035. σώματα MBAK. — κατασπασθέντα Lb.
1036. γίνεται Lb. — τὸ καυθὲν, σῶμα τῆς μαγνησίας B etc.
1037. Réd. de Lb : τῶν σωμάτων ἐστίν · ἡ δὲ στροφὴ ...
1038. εἰς τὸ ξανθὸν γίνεται Lb.
1039. προσομιλ. λέγομεν · πάλιν δὲ Lb.
1040. αἰθάλην δὲ ὡς πρώτην ἀσώματον Lb. — F. l. εἰς πρ. τέχνην ἄγει. Cp. § 4, p. 194, l. 2.
1041. ἀσωματοῦνται mss. Corr. conj. — μετὰ τῆς ὑδραργύρου B etc., f. mel.
1042. σώματος] ἀσώματα B etc. F. l. σωμάτωσις.
1043. F. l. δέχοντα < τι > καλῶς ἐνεργοῦν χ. π. — καὶ ἐνεργ. Lb. — α΄ dans M seul. — ἀλλαχοῦ δὲ Lb.
1044. θείου Lb seul ; signe dans les autres mss.
1045. θείοις] signe figuré dans les notations alch. (*Introd.*, p. 112, pl. 4, l. 18), et confondu avec celui de la pl. 5, l. 2, dans ELb, qui écrivent : ἐν δὲ τοῖς πετάλοις σιδηροῖς. — δρᾷ] δρῶσι Lb.
1046. Τί] τίνα Lb. — ἄρα M.
1047. πάντα] F. l. ταῦτα. — καὶ τὰ πάντα ὅμοια, ἀσώματα B etc.
1048. M mg., sur une ligne verticale, à l'encre noire : ἀπ' ὧδε τέλειον.
1049. ταῦτα γὰρ οὐ φεύγ. Lb seul.

τὰ φεύγοντα συγκραθῶσι τοῖς μὴ φεύγουσιν, οὐδὲν ἔσται τῶν προσδοκωμένων · ἐὰν μὴ λευκανθῇ, καὶ γένηται τὰ [1050] δύο τρία μετὰ τοῦ λευκοῦ θείου, τοῦ λευκαίνοντος αὐτό. Ἐπειδὰν δὲ [1051] ξανθωθῇ, γέγονε τὰ τρία τέσσαρα · διὰ γὰρ ξανθοῦ θείου ξανθοῦται. Ἐπειδὰν δὲ ἰωθῇ, γέγονε τὰ ὅλα ἕν.

10. Τί βούλεται Ὀστάνης ; λέγει γὰρ περὶ τῆς συγκράσεως τῶν [1052] φευγόντων καὶ τῶν μὴ φευγόντων · « Πάλιν συγγένειαν ἔχει ὁ πυρίτης [1053] λίθος πρὸς τὸν χαλκόν. » Ὁ γὰρ Ὀστάνης οὐ περὶ ὑδραργύρου (f. 161 v.) ἔλεγεν, ἀλλὰ περὶ τῆς ἄγαν λειώσεως, ἵνα λειούμενος ὑποστάθμην μὴ ἔχῃ, ἀλλ' ὅλος ᾖ ὅλον ὕδωρ. Ἤδη δεῖ σε νοεῖν περὶ [1054] ὕδατος ἢ ἐξυδατισμοῦ < ἅ τινα > ὁ φιλόσοφος καλῶς ἐν ταῖς πλύσεσιν καὶ λειώσεσιν διέλαβεν περὶ τῆς λειώσεως, καὶ ἔλεγεν · « Ἵνα γένηται ὡς ὕδωρ. Ὁ φιλόσοφος πάλιν · « Συγγένειαν ἔχει ἡ μαγνησία καὶ ὁ μαγνήτης πρὸς τὸν σίδηρον. » Πάλιν ὁ διδάσκαλος · « Πάλιν συγγένειαν [1055] ἔχει ἡ ὑδράργυρος πρὸς τὸν κασσίτερον. Ὁ φοιτητής φησιν · « Ὑδράργυρος ποιεῖ μίγμα κασσιτέρου. » Φησίν · « Τοῦτο λευκαίνει πᾶν σῶμα. Ὁ μόλυβδος πάλιν συγγένειαν ἔχει ὁ λίθος ὁ ἐτήσιος πρὸς [1056] τὸν μόλυβδον. » Ταῦτα μιμούμενος ὁ φιλόσοφος ἔλεγεν περὶ τῆς ἡμῶν [1057] τέχνης ὅτι ἡ φύσις τὴν φύσιν τέρπει.

11. Περὶ δὲ μαγνησίας ὁ λόγος · « Πάντα κατασπάσας εὑρήσεις σῶμα μέλαν ἢ μέλανα μόλυβδον, πολλάκις, καὶ σκωρίαν ἐπάνω πολλήν, [1058] ἣν εἴ τις [ἐὰν] γεύσηται, εὑρήσει αὐτὴν δριμεῖαν ὥσπερ σφέκλην. [1059] Ταύτην ἀποκρούσαντες εὑρίσκουσιν ἔσω μέλανα μόλυβδον, τὸν ἐν αὐτῷ χαλκόν, τὴν ἐν αὐτῷ μαγνησίαν · ταύτην καλοῦσιν μολυβδόχαλκον [1060] καὶ σῶμα μαγνησίας · αὕτη περὶ ἧς μοι γέγραπται · αὕτη ἐστὶν περὶ ἧς πᾶσαι αἱ γραφαὶ κηρύττουσιν εἶναι ταύτην ἣν πλάζονται ζητοῦντες τοῦτον τὸν μολυβδόχαλκον, τοῦτο ὃ κηρύττουσιν αἱ τῶν προγόνων γραφαί. Ἡ τοῦ Ἀπόλλωνος ἔκδοσις, τουτέστιν τὸ σῶμα τῆς μαγνησίας · τοῦτό ἐστιν ὁ χαλκός, ὃν καὶ αὐτὸς Θεόφιλος [1061] ἔλεγεν · ἕνα δέξαι χαλκὸν στέφανον. Καὶ ὁ Ἑρμῆς πάλιν ἔλεγεν [1062] · « Τὸ σῶμα τῆς μαγνησίας ὃ ἐπεθύμησας μαθεῖν, εἰς τὴν οἰκονομίαν καὶ [1063] τὸν σταθμὸν, εἴπομεν ὅτι κιννάβαριν λέγουσιν τὴν λεύκωσιν · λοιπὸν [1064] ἢ τὴν ξάνθωσιν. Τὰ γὰρ προλευκανθέντα, ἡ οἰκονομία αὕτη ἐστὶν ὡς [1065] γέγραπται ἡμῖν.

1050. λέγω δὲ, ἐὰν ... Lb.
1051. Après αὐτό] Suppléer οὐδὲν ἔσται τ. προσδ. ?
1052. ὁ Ὀστ. λέγειν περὶ τ. συγκρ. ELb ; γὰρ om. BAK. F. l. δὲ.
1053. φησὶ γὰρ, πάλιν E.
1054. M mg. : ὑποσταθμὴν, à l'encre noire. — ἢ M ; ἢ B ; ἢ AK. — ὅλος] ὅλως E.
1055. πάλιν συγγ.] πάλιν om. Lb. F. l. πολλὴν συγγ. Cp. 3, 29, 5.
1056. πάλιν] F. l. πολλὴν. — Après ἔχει] πρὸς τὸν πυρίτην add. B etc. — καὶ ὁ ἐτήσιος λίθος Lb.
1057. μιμούμενος] λογιζόμενος B etc.
1058. μέλαν] μελανὸν M. F. l. μελανοῦν.
1059. M mg. : καλῶς sur une ligne verticale, en lettres retournées.
1060. τὴν] τὸν M.
1061. θεόφιλος ὧν ἔλεγεν E.
1062. ἵνα δείξῃ χαλκοῦ στέφ. Lb. F. l. χαλκοῦν στέφ.
1063. ὃ] τὸ M.
1064. λοιπὸν biffé E.
1065. M mg. : προλε avec renvoi à ξάνθωσιν. — τῶν γὰρ προλευκανθέντων ἡ οἰκ. B etc.

✳
✳✳

1.1.30 3. — 29. ΠΕΡΙ ΤΟΥ ΛΙΘΟΥ ΤΗΣ ΦΙΛΟΣΟΦΙΑΣ. [1066]

Transcrit sur A, f. 136 v. (= A ou A[1]). — *Collationné sur* K, f. 110 v.;— *sur des fragments contenus dans* A, f. 9, 10, 11 (= A[2]), *à partir du* § 18;— *sur* E, f. 82 r.;— *sur* Lb. p. 321. — *Chap.* 52 *de la compilation du Chrétien dans* E Lb.

1. Η Μαρία φησίν · « Ἐὰν ὁ μόλυβδος ἡμῶν μέλας γένηται, ἰδοὺ γεγένηται · ὁ γὰρ μόλυβδος ὁ κοινὸς ἐξ ἀρχῆς μέλας ἐστίν · πῶς γὰρ γένηται ; ἐὰν μὴ τὰ σώματα ἀσωματώσῃς, καὶ τὰ ἀσώματα [1067] σωματώσῃς καὶ ποιήσῃς τὰ δύο ἓν, οὐδὲν τὸ προσδοκώμενόν ἐστιν. [1068] Καὶ ἐὰν μὴ τὰ πάντα ἐν τῷ πυρὶ ἐκλεπτυνθῇ, καὶ ἡ αἰθάλη πνευματωθεῖσα [1069] βασταχθῇ, οὐδὲν εἰς πέρας βασταχθήσεται. » Καὶ πάλιν [1070] · « οὐχ ἁπλῶς λέγω, φησὶν, ἀλλὰ μολύβδῳ μέλανι τῷ ἡμῶν. Ἰδοὺ [1071] γὰρ ὅλως σκευάζουσιν μέλανα μόλυβδον · ὡς γὰρ ἡπτημένον μετὰ [1072] κοινὸν μόλυβδόν ἐστιν · Ὁ γὰρ μόλυβδος μὲν ὁ κοινὸς (f. 137 r.) ἐξ ἀρχῆς μέλας ἐστὶν, ὁ δὲ ἡμέτερος γίνεται μέλας, μὴ ὄντος αὐτοῦ πρότερον. »

2. Ὅτι πάντα οἱ φιλόσοφοι τὰ ἔργα τοῦ λίθου εἰς δ′ διήρουν · πρῶτον μελάνωσιν, δεύτερον λεύκωσιν, τρίτον ξάνθωσιν, καὶ τέταρτον ἴωσιν · μεταξὺ δὲ μελάνσεως καὶ λευκώσεως καὶ ξανθώσεως ἐστιν ἡ χοωποίησις, ἤτοι ἡ ταριχεία, καὶ τῶν εἰδῶν ἡ πλύσις. Ἀδύνατον δὲ ταῦτα γενέσθαι πλὴν διὰ τοῦ ὀργάνου τοῦ μασθωτοῦ [1073] οἰκονομίᾳ, καὶ τῆς ἑνώσεως τῶν μορίων.

3. Πελάγιος ὁ φιλόσοφός φησιν · « Σημείωσις οὖν ἐστιν ἀρχομένης ἰώσεως, εἰ δὲ ἐντὸς γενομένη ἴωσις, αὕτη ἐστὶν ἡ ἀληθινὴ ἴωσις, ἥτις καὶ ἰὸς χρυσὸς ἑρμηνεύθη, ἐὰν μία τις ποιήσῃ, γίνεται, εἰ δὲ μὴ, [1074] οὐ γίνεται. Σκόπει οὖν ἵνα ἐν τῷ βάθει γίνηται · εἰ δὲ μὴ, οὐ γίνεται. »

4. Ἀλάβαστρον τὸν πάνυ λευκότατον λίθον τὸν ἐγκέφαλον τὸν ὡς [1075] ὄζον ἔχοντα ὡς θέρμην. Τοῦτον λαβὼν, λείωσον καὶ ταρίχευσον ὄξει. Καὶ βαλὼν εἰς ὀθόνιον, καὶ μετὰ πάντων ἔγκρυψον εἰς κόπρον ἱππείαν ἢ ὀρνιθείαν ἄχρις εἴκοσιν ἡμερῶν, ὥς φησιν ὁ θεῖος Ζώσιμος.

5. Ὅτι τὰ θεῖα τὰ ὄντα δύο, ἕν ἐστι σύνθημα. Δύο τοίνυν ὄντων [1076] ὑδραργύρων τὸ λευκὸν σύνθημα καί τὸ ὕδωρ τοῦ θείου, κατὰ τὸν Δημόκριτον · τὸ θεῖον

1066. Deux titres dans A ; second titre, en marge : λόγος τῆς σοφοτάτης (sic) μαρίας περὶ τοῦ λ. τ. φ. (seul titre de ELb.)
1067. F. l. γεγένηται. — ἐὰν μὴ ... Cp. Olympiodore, 2, 4, 40.
1068. F. l. τῶν προσδοκωμένων. Cp. *ibid.* (p. 93, l. 15).
1069. Cp. plus bas le § 11.
1070. ἀχθήσεται, dans Olympiodore.
1071. Ἰδοὺ ... Cp. Ol. § 41.
1072. ὅλως ici et dans Ol. F. l. ὅπως. — ἡπτημένον] ὠπτημένος E par correction, Lb.
1073. πλὴν διὰ τῆς τοῦ ὀ. μ. οἰκονομίας E, f. mel.
1074. χρυσοῦ E mg. Lb. — ἑρμηνεύεται Lb seul, mieux.
1075. τόν ὡς καὶ (add. Lb) ὄ. ἔχ. καὶ θ. ELb.
1076. ὄντων ὑδρ.] εἰσὶν αἱ ὑδράργυροι Lb.

θείῳ μιγὲν θείας ποιεῖ τὰς οὐσίας, πολλὴν [1077] ἔχοντα πρὸς ἄλληλα τὴν συγγένειαν.

6. Συνέσιός φησιν ἐν μὲν τῆς χρυσοποιΐας < λόγῳ > · « Δημόκριτος [1078] εἶπεν · ὑδράργυρος ἡ ἀπὸ κινναβάρεως ... ἐν δὲ τῷ λευκῷ εἶπεν · ὑδράργυρον τὴν ἀπὸ σανδαράχης καὶ τὰ ἑξῆς. »

7. (f. 137 v.) Διόσκορος εἶπεν · « Καθὰ ὁ κηρὸς οἷον ἂν χρῶμα [1079] προσομιλήσῃ αὐτῷ μεταβάλλεται · τὸ αὐτὸ καὶ ἡ ὑδράργυρος μεταβάλλεται. [1080] »

8. Ὅτι δύο ξανθώσεις εἰσὶν καὶ δύο λευκώσεις, καὶ δύο συνθέματα, [1081] ξανθὸν καὶ ὑγρὸν τουτέστιν ἐν τῷ καταλόγῳ τοῦ ξανθοῦ βοτάνας καὶ [1082] μέταλλα, καὶ ζωμοὺς δύο, ἕνα ἐν τῷ ξανθῷ, καὶ ἕνα ἐν τῷ λευκῷ · καὶ ἐν μὲν τῷ ξανθῷ ζωμῷ, διὰ ξανθῶν βοτανῶν, οἷον κρόκου, καὶ ἐλυδρίου καὶ τῶν ὁμοίων · ἐν δὲ τῷ λευκῷ πάλιν συνθέματι, [1083] ἐν μὲν τῷ ξηρῷ πάντα τὰ λευκά, οἷον γῆν κρητικήν, κιμωλίαν, καὶ ὅσα τὰ τοιαῦτα · καὶ ἐν μὲν τῷ ὑγρῷ τοῦ λευκοῦ, ὅσα λευκὰ ὕδατα, [1084] οἷον ζύθου < καὶ > χυλὸς καὶ τὰ ὅμοια. [1085]

9. Ὀλυμπιόδωρός φησιν · « Γίνεται ἡ ταριχεία ἀπὸ μηνὸς μεχὶρ [1086] κε΄ ἕως μετοπωρινῶν κε΄ · ὅσα ἂν δύνῃ ταριχεῦσαι καὶ πλύναι ἕως [1087] ἀφῇς αὐτὰ ἐν ἄγγεσιν ἀποκείμενα. Γίνεται δὲ ἡ ταριχεία περὶ τῆς [1088] πηλώδους γῆς, [1089] μέχρις ἂν τὸ πηλῶδες ἐξέλθῃ, καὶ εἰς ψάμμον καταλήξῃ. Ὅτι ἡ τέχνη αὕτη διὰ πυρὸς οὐ γίνεται.

10. Ὅτι μ΄ ἡμερῶν ἐστι τὸ πῦρ τῆς ὅλης τέχνης. Ὅτι οἱ ἀρχαῖοι τὴν τέχνην ἐκάλυψαν τῇ πολυπληθείᾳ τοῦ λόγου, καὶ ὀνόμασι πολλοῖς ἐκάλεσαν τὸ ὕδωρ τὸ θεῖον. [1090]

11. Ὅτι Μαρία φησίν · « Ἐαν μὴ τὰ πάντα τῷ πυρὶ ἐκλεπτυνθῇ, καὶ ἡ αἰθάλη πνευματωθεῖσα βασταχθῇ, οὐδὲν εἰς πέρας βασταχθήσεται. » Ὅτι ὁ χαλκομόλυβδος ἐτήσιος λίθος ἐστίν. Ὅτι τῆς ὅλης [1091] πραγ- (f. 138 r.) ματείας τὸ σκεύασμα ἐξ ἀρχῆς μέλας ἐστίν. [1092] Ὅτι ὅταν τὰ πάντα ἴδῃς σποδὸν γινόμενα, τότε νόει ὅτι καλῶς ἐσκεύασας. Τοῦτο οὖν τὸ σκωρίδιον λείωσον καλῶς, καὶ ἐξυδάτωσον καὶ ἀπόπλυνον ἑξάκις καὶ ἑπτάκις ἐν γλυκέοις ὕδασιν καθ᾽ ἑκάστην χωνείαν ποιῶν · πρὸς γὰρ τὴν δύναμιν τοῦ ψάμμου καὶ ἐν χωνείᾳ γίνονται. [1093] Διὰ γὰρ ταύτης

1077. πολλὴν ...] Cp. 3, 28, 10.
1078. Συνέσιος ...] Cp. 2, 3, 10, 12 et 18. — τῇ χρυσοποιΐᾳ Lb seul.
1079. οἵῳ ἂν χρώματι Lb seul.
1080. αὐτῷ] εἰς αὐτὸ Lb seul. — οὕτω καὶ τὸ αὐτὸ E. — ἡ, puis le signe de l'argent AKE.
1081. ὅτι ...] Cp. Olympiodore, § 50.
1082. ξανθὸν] Lire ξηρῶν comme dans Ol. — Après ξανθοῦ] λέγει γὰρ βοτ. Lb.
1083. ἐν δὲ τῷ λευκῷ gratté par le copiste de Lb et corrigé en ἄνευ τοῦ λευκοῦ, puis : ἐν δὲ τῷ λευκῷ.
1084. μὲν] δὲ Lb seul.
1085. ζύθος, χυλὸς Lb seul.
1086. Cp. Ol., § 1.
1087. μετοπωρινῶν] F. l. μεσωρὶ. Cp. p. 69, l. 15. — Réd. de Lb seul (qui omet ὅσα ἂν δύνῃ) : ταρίχευε δὲ καὶ πλύνε, καὶ ἄφες αὐτὰ ἐν ἀγγείοις.
1088. γίνεται — καταλήξῃ] Cp. Ol., § 2.
1089. ἀφεὶς AKE. — περὶ] ἐπὶ Lb.
1090. τοῦ θείου Lb seul.
1091. χαλκὸς μόλυβδος MBAK.
1092. μέλαν Lb seul.
1093. οὕτω ποιῶν Lb. — καὶ αἱ χωνεῖαι Lb.

τῆς ἀγωγῆς, ἤγουν τῆς πλύσεως, φησὶν ἡ Μαρία,[1094] γλυκαίνεται τὸ σύνθημα · καὶ ἰδοὺ ἐπιστοιχειοῦται. Μετὰ γὰρ τὸ τέλος τῆς ἰώσεως, ἐπιβολῆς γίνομένης τῶν ὑγρῶν, γίνεται καὶ βεβαία ξάνθωσις. Τοῦτο δὲ ποιῶν, ἐκφέρει ἔξω τὴν φύσιν τὴν ἔνδον κεκρυμμένην.[1095] Ἔκστρεψον γὰρ, φησὶν, αὐτὴν τὴν φύσιν, καὶ εὑρήσεις τὸ ζητούμενον.

12. Ὅτι τὰ συνθέματα δύο εἰσὶν, λεύκωσις καὶ ξάνθωσις · καὶ δύο μὲν λευκώσεις, καὶ δύο ξανθώσεις, ἤγουν μία διὰ λειώσεως, καὶ ἑτέρα δι' ἑψήσεως. Οὐ γὰρ ἁπλῶς συλλειοῦται, ἀλλ' ἐν τῷ δώματι ἱερατικῷ · καὶ ἐκεῖσε γίνεται λίμνη καὶ κήτη.[1096]

13. Ὅτι ἡ Μαρία φησίν · « Ζεύξατε ἄρρενα καὶ θήλειαν, καὶ εὑρήσετε[1097] τὸ ζητούμενον. » Καὶ ἀλλαχοῦ φησιν ἡ Μαρία · « Μὴ θέλετε[1098] ψηλαφεῖν χερσὶν, ὅτι ἐστὶν πύρινον φάρμακον. »

14. Ὅτι τὰ δύο συνθέματα καλοῦσιν πολλοῖς ὀνόμασιν, οἷον ὕδωρ[1099] δι' ἅλμης κ. τ. λ.

15. Ὅτι τὰ σκεύη τῶν συνθεμάτων ὑάλινα χρὴ εἶναι, ἐπειδὴ συμπάσχει[1100] [ἐν] τῇ ἰώσει, οὐ ψηλαφῶντες χερσί · θανατηφόρος γάρ ἐστιν[1101] ὅτε ὑδράργυρος καὶ < ὁ > ἐν αὐτῷ χρυσὸς σαπῇ · ὅτι πάντων τῶν[1102] μετάλλων δηλητηριωδέστερός ἐστι.

Chapitre 53 *de la compilation du Chrétien dans* E Lb.

16. Ὅτι προκείμενόν ἐστιν ἐν τῇ καύσει πρῶτον λεύκωσις, δεύτερον[1103] ξάνθωσις. Ἐπίβαλε, φησὶ, τοῦ λευκοῦ φαρμάκου τὸ ἥμισυ, καὶ ἔσται πρῶτον, καὶ οὕτως ἕψει · τὸ γὰρ ἄλλο ἥμισυ ἐν τῇ ἰώσει τηρούμενον.[1104] Διὰ τοῦτο καὶ Ἐπιβήχιός φησιν ἄνω καὶ κάτω · « Διαμερίσατε εἰς[1105] δύο μοίρας τὸ φάρμακον. » Ἔλεγεν καί · « Τὸ μὲν ἓν ἔχει ἐν ὀστρακίνῳ[1106] ἀγγείῳ, τὸ δὲ ἕτερον εἰς χαλκοῦν · δηλοῖ < ἀπὸ > τοῦ ὀστρακίνου τὴν ὄπτησιν, ἀπὸ δὲ τοῦ χαλκοῦ τὴν ἴωσιν · προεῖπεν καὶ τὴν λεύκωσιν, ἤγουν · « Καύσατε τὸν χαλκὸν ἐν δαφνίνοις ξύλοις, » τουτέστιν ἐν τῷ λευκῷ συνθέματι.

1094. πλύνσεως mss.
1095. ἐκφέρεις Lb.
1096. κήτη] κοίτη Lb. Hœfer : « dépôt. »
1097. Ζεύξεται corrigé en ζεύξαται (sic) E. Cp. Ol., § 53. — εὑρήσειται AKE.
1098. A mg. : une main, d'une encre plus pâle. — Μὴ θέλετε ...] Cp. Ol., § 54, et Zosime, 3, 21, 4.
1099. Tout le § 14 est emprunté, à partir de ὕδωρ, au morceau 3, 25, 1. Nous en supprimons le texte. Les variantes de ce § ont été rapportées au passage cité.
1100. Τὰ δὲ σκεύη Lb. Cp. 3, 21, 4. — συμπάσχουσιν Lb seul.
1101. A mg. : Une main, d'une encre plus pâle.
1102. ὅτε] ἥ τε Lb. — καὶ ὁ ἐν αὐτῷ χρυσὸς σαπείς πάντων γὰρ ... Lb.
1103. Titre en marge de E (f. 85 v.) et en vedette dans Lb (p. 337) : ΠΕΡΙ ΣΗΨΕΩΣ.
1104. τηροῦμεν Lb.
1105. Πηβήχιος Lb seul, par correction.
1106. ἔλεγεν — λεύκωσιν (p. suiv. l. 3)] Réd. de Lb seul : καὶ τὴν μὲν μοῖραν ἔχε ἐν ὀστρακίνῳ ἀ., τὴν δὲ ἑτέραν ἐ. χ. καὶ τὸ μὲν ὄστρακον δηλοῖ τοῦ ὀστρακίνου (en marge : *lego* λευκοῦ) τὴν ὄπτησιν, ἀπὸ δὲ τοῦ χαλκοῦ τὴν ἴωσιν · προεῖπε καὶ τὴν λεύκωσιν. (τὴν λεύκωσιν reporté, par un trait, après ὄπτησιν.)

17. Καὶ ὁ Ἀγαθοδαίμων φησίν · « Ἕψει τὸ (f. 139 r.) θεῖον ὕδωρ μετὰ τῆς νεφέλης · καὶ οὕτως ἐστὶν ἡ καῦσις καὶ ἡ λεύκωσις. » Καὶ πάλιν · « Τὴν προγεγραμμένην νεφέλην ἕψει ἐλαίῳ κικίνῳ, ἢ ῥεφανίνῳ, προσμίξας βραχὺ στυπτηρίας.

18. Καὶ ὁ Ζώσιμός φησιν · « ... Χρὴ γὰρ ἀκριβῶς ἐπὶ τῆς [1107] παρούσης ἐργασίας ἀμφιβαλόμενον δι' ὅλων τῶν τριακοσίων ἑξηκονταπέντε [1108] ἡμερῶν λούειν τὸν χαλκοῦν ἀετὸν, καὶ ἀνανεῶν, καὶ ἑξῆς [1109] δι' ὅλης αὐτοῦ τῆς πραγματείας.

19. Φησὶν ὁ θεῖος Σοφάρ · εἶδον κ. τ. λ. [1110]

20. Μαγνησία ἐτυμολογεῖται ἀπὸ τοῦ μιγνύειν τὰς κράσεις ἑνώσεις [1111] συμπλοκῇ τῶν δύο. [1112]

21. Ὅτι ὁ θεῖος Ζώσιμός φησιν · « Ἐπειδὴ ὁ Δημόκριτος ἐκεῖνος ὁ ἐμὸς ἀγαθῶς λέγει · » Δέξαι κ. τ. λ. [1113]

22. Ὅτι ὁ Ζώσιμος ἔλεγεν · « Μὴ φοβηθῇς τὴν πολλὴν καῦσιν καὶ ἐξυδάτωσιν τῶν σωμάτων ... Ὅτι εἰσὶ μυρίαι καύσεις τοῦ χαλκοῦ, βαπτικωτέραι αὐτὸν ποιοῦσιν τὸν χαλκόν. Ἔκστρεψον τὴν φύσιν, [1114] καὶ εὑρήσεις τὸ ζητούμενον · ἡ γὰρ φύσις ἔνδον κέκρυπται · ἐκστρεφομένης δὲ τῆς φύσεως, οὐκέτι λευκὸν ὁρᾶται, κατὰ τὴν προφανεῖσαν [1115] ἐξυδραργύρωσιν, ἀλλὰ ξανθὸν κατὰ τὴν ἐπηγγελμένην τοῦ ἰοῦ ξάνθωσιν. [1116] Καὶ ποῦ ποτέ εἰσιν οἱ λέγοντες ἀδύνατον μεταβάλλεσθαι φύσιν ; Ἰδοὺ γὰρ μεταβάλλεται ἡ φύσις στερεὸν γενομένη κατὰ [1117] τὴν ποίοτητα χρυσοῦ καὶ εἰς μέλαν κατασπασθήσεται. Ἐὰν γὰρ μὴ ὑγρότης τῆς ἐξυδραργυρώσεως περιελθοῦσα κατὰ τὴν γεώδη τοῦ [1118] στερεοῦ σώματος καὶ τὸ ξηρίον διαλύσεις καὶ ἐξυδατώσεις κατὰ τὴν [1119] οὐσίαν τῆς ἐξυδραγυρώσεως ποιότητα, εἰς οὐδὲν ἔσται τὸ προσδοκώμενον [1120] · ἐὰν μὴ καὶ διαλυθείη καὶ ἐξυδατωθείη, καὶ θερμανθείη δὲ, εἰς οὐδὲν ἔσται τὸ προσδοκώμενον Ἐὰν δὲ καὶ μὴ διαλυθείη καὶ [1121] θερμανθείη, περιψυχθῇ δὲ, εἰς οὐδὲν ἔσται τὸ προσδοκώμενον Ἐὰν [1122] δὲ πάντα τὰ κατὰ τὴν τάξιν ὁμοῦ κατακολούθως γένηται, ἐλπὶς καὶ ἐκβάσεως, σὺν τῇ θείᾳ προνοίᾳ, τυχεῖν [εἰς οὐδὲν ἔσται (f. 140 r.) τὸ προσδοκώμενον].

1107. ἐπὶ τῆς παρ. ἐργ.] Réd. de A^2 : ἐπὶ τὸν τῆς παρ. ἐργ. ἀφικόμενος οὖν διὰ φιλοσοφίας δι' ὅλων ...

1108. ἀμφιβαλόμενος KE ; ἀναμφιβόλως Lb.

1109. χαλκὸν AKE ; χάλκινον Lb. Corr. conj. — ἀνανέον A^2 ; ἀνανεύων K ; ἀνανεοῦν ELb. — ὡς οὖν καὶ ἔξις (*sic*) A^2 ; καὶ ἑξῆς ἀπὸ τῆς πραγμ. E ; καὶ ἕξεις ὅλην πραγματείαν Lb.

1110. Le texte du § 19 est emprunté au morceau 3, 4, 5, où l'on a reporté les variantes de ce §.

1111. Réd. de Lb : ... τὰς κράσεις · ἔστι γὰρ ἕνωσις καὶ συμπλοκὴ τῶν δύο. — Après le contenu de notre § 19, A^2 continue ainsi : χρὴ γὰρ π. τ. λ. (§ 18).

1112. συμπλοκὴ mss.

1113. ἀγαθὸς Lb. — Le § 21, depuis ἐπειδὴ est emprunté au morceau 3, 6, 6. On en a reporté les principales variantes au passage cité.

1114. βαπτικώτερον Lb. — Réd. de A^2 (f. 11 r.) : καὶ τοῦτο φησίν · ἔκστρεψον, φησὶν, τ. φ. ; Réd. de ELb : ἔκστρ. δὲ αὐτοῦ τ. φ.

1115. λευκὸς Lb.

1116. ξανθὸς Lb.

1117. ἡ φύσις τῶν στερεῶν A^2 E. — στερεὰ E (en surcharge) Lb.

1118. γεώδη φύσιν Lb lue.

1119. διαλύση καὶ ἐξυδατώση Lb.

1120. οὐσίαν] οὐσιώδη A^2. — οὐσίαν καὶ τὴν ποιότ. τῆς ἐξ. Lb.

1121. ἐὰν δὲ καὶ μὴ — προσδοκ. (l. suiv.) biffé dans E.

1122. ἐὰν μὴ δὲ E, f. mel.

23. Βλέπε καλῶς τὸν μὲν τῆς κυοφορίας καιρὸν μὴ ἐλάττονα τῶν ἐννέα [1123] μηνῶν, ἐπεὶ ὡς ἔκτρωμα συμβήσεται, τὸν δὲ τῆς ὀπτήσεως κατὰ πάντα, [1124] κατὰ τὰ πέταλα μὴ ἔλαττον ὡρῶν ἐννέα, ἡ τῆς κυοφορίας γὰρ τρόπος, [1125] καὶ οὕτως ἐστίν · τὸν δὲ κατὰ τὴν ἄσκησιν τοῦ φιαλοβωμοῦ καιρὸν [1126] συγκρίνῃ κατὰ τὴν ταριχείαν. Ἐπιθεωρῆσαι γὰρ ὅτι τρεῖς τρόποι [1127] τῆς ἐργασίας · εἰ μὲν ὅτι τῆς συγκράσεως πρῶτος τρόπος, καὶ κατανοήσῃς μου, ἔχει καταφυρώμενα καὶ ζυμούμενα ἐπιτεύχωος καὶ [1128] ἀλεύρου. Ὥσπερ γὰρ τὸ ὑγρὸν οὐ κατὰ τὰ μέτρα αἰθάλεται, ἀλλὰ καθόσον ἡ χρεία ἐπιζητεῖ, οὕτω καὶ ἐπὶ τοῦ συνθέματος ὀπὴν ἔχει [1129] τὸ ὀστράκινον ἄγγος, κ. τ. λ.

24. Ὅτι αὐτός ἐστιν ὁ ἐτήσιος λίθος. Γλυκάνης οὖν τὸ ξηρίον, [1130] καὶ ξήρανον, στῆσον καὶ ἐξίωσον τὸ ξηρίον τοῦ χαλκάνθου μέρη γ′, μαγνησίας μέρος ἓν, χαλκοῦ μέρος ἕν. Ἐξίωσον τὸ ξηρίον μέρος ἕν · λείωσον ὁμοῦ ποτίζων ἐν ἡλίῳ ἀπὸ τοῦ ὄξους τοῦ λευκοῦ ἡμέρας ἑπτὰ, καὶ ὕστερον ὀπτᾶσθαι ἡμέρας δύο ἢ τρεῖς, καὶ ἐξενεγκὼν εὑρήσεις [1131] βαφέντα τὸν χρυσὸν πυρρὸν ὡς τὸ αἷμα. Αὕτη ἐστὶν ἡ κιννάβαρις [1132] τῶν φιλοσόφων, καὶ ὁ χαλκάνθρωπος χρυσός · ἀλλὰ καὶ αὐτὸ [1133] ξηρίον ποτιζόμενον ἀπεστύφη ἐν τοῖς ζωμοῖς · ἐὰν γὰρ πλεονάσῃ τὰ [1134] φῶτα, γίνεται ξανθὸν, ἀλλ' οὐ χρησιμεύει. [1135]

✳
✳✳

1.1.31 3. — 30. ΠΕΡΙ ΑΦΟΡΜΩΝ ΣΥΝΘΕΣΕΩΣ.

Transcrit sur M, f. 161 v. (*ms. unique*).

Ἡ περὶ ἀφορμῶν σύνθεσις, ὦ Θεοσέβεια, τὰς κατὰ μέ- (f. 162 r.) ρος [1136] τῶν ἀρχαίων συνθέσεις εἰς ἕνα νοῦν συνῆξεν · ἔτι γε μὴν καὶ ὀνόματα σύνθετα ἐν ταῖς αὐτῶν συντάξεσιν ἀγνοούμενα διὰ τοῦ πράγματος δηλοῖ, ὡς τὴν σποδὸν καὶ τὰ ὁμοιότροπα. Εἰδέναι δὲ δεῖ τίνα κατὰ τοῦ φιλοσόφου ποιεῖ τὸ < μὲν > πυρίμαχον, τὸ δὲ προσπλακὲν [1137] ποιεῖ πυρίμαχον, καὶ τὰ ἑξῆς. Ὁ γὰρ σοφὸς, ἀφορμὰς

1123. βλέπε δὲ (om. E) καλῶς τὸν μὲν (om. Lb) τῆς κ. κ. ELb.
1124. τὸ δὲ mss.
1125. μηνῶν au-dessus de ὡρῶν E ; μηνῶν Lb. — ἡ] ὁ Lb.
1126. τὸ δὲ AK.
1127. σύγκρινε Lb seul. — F. l. ἐπιθεώρησαι.
1128. ἐπὶ τεύχωος corrigé en τέφρας E. F. l. ἐπὶ στάχυος.
1129. ἐπὶ τοῦ συνθέματος] Le texte compris depuis ces mots jusqu'à la fin du § est emprunté au morceau 3, 7, 5. On en a reporté les principales variantes au passage cité.
1130. αἰτήσιος Lb.
1131. λεῖπε ὀπτᾶσθαι Lb.
1132. πυρὸν mss.
1133. χαλκάνθρ. ὁ χρυσοῦς Lb.
1134. ποτιζ. καὶ ἀποστυφόμενον Lb seul. — γὰρ biffé dans E ; om. Lb. F. l. δὲ.
1135. Après χρησιμεύει] Τέλος τοῦ Χριστιανοῦ Lb seul.
1136. ὡς θεοσέβειαν M. Corr. conj.
1137. M mg. : ·)(· puis le signe du mercure (lire Ἑρμοῦ ?).

λαβὼν, πάντως ἀπὸ τῆς ἀρχῆς ἐπὶ τὸ πέρας ἀφίξεται. Ἔνθεν ἐγὼ τὰ τέλεια ἐνθεῖναι οὐκ ἠδυνήθην, ἐπείπερ οὐδὲ παρ' αὐτοῖς εὗρον · οὔτε μὴν [1138] τοῦτο προσεθέμην ὅπερ οὐδὲ τοσοῦτος, εἰ μὴ μόνον καθὼς δυνατὸν ὡς εἰκότα τὰ σκορπισθέντα συνάξαι, καὶ τὰ ἀλληγορικὰ εἶναι ἑρμηνεῦσαι · καὶ ὅσα ἐγχωρεῖ ὑπομνήμασιν γενέσθαι ἐποίησα. Ἔρρωσο.

✳
✳✳

1.1.32 3. — 31. ΠΕΡΙ ΞΗΡΙΟΥ.

Transcrit sur M, f. 136 v. — *Collationné sur* A, f. 110 r. ;— *sur* E, f. 37 r. ;— *sur* Lb, p. 129. — *Chap.* 28 *dans* E, 29 *dans* Lb, *de la compilation du Chrétien.*

Τρεῖς δυνάμεις εἰσὶ τοῦ ἀληθεστάτου ξηρίου, καὶ τρεῖς ἐνέργειαι ἐκ τούτων προιοῦσαι τῶν δυνάμεων · βαφὴ, εἴσκρισις, κάτοχον. Καὶ τὸ [1139] μαθηματικὸν τρεῖς διαστάσεις ἔχει, μῆκος, πλάτος καὶ βάθος. Καὶ τὸ φυσικὸν σῶμα τὸ τριχῇ διάστατον καὶ ἀντίτυπον, ὃ μῆκος ἔχει, [1140] καὶ πλάτος, βάθος τε καὶ ἀντιτυπίαν · οὕτω καὶ εἴδους ἐροῦμεν βαφὴν [1141] εἴσκρισιν, κάτοχον καὶ στίλψιν. Καὶ τὸ τριχῇ διάστατον προσαγορεύομεν ἴδεον καὶ ἀνίδεον καὶ πανίδεον ὕλην τὴν ὑποδεχομένην τὰς [1142] δυνάμεις καὶ ἐνεργείας.

✳
✳✳

1.1.33 3. — 32. ΠΕΡΙ ΙΟΥ.

Suite du texte précédent. — Chap. 29 *dans* E, 30 *dans* Lb, *de la compilation du Chrétien.*

Ἡ μὲν γὰρ ἰώδης δύναμις συμπληρωτική ἐστιν τῆς ὅλης ὑποκειμένης οὐσίας ἀτόμου, καὶ μέρος αὐτῆς, καὶ ἄνευ ταύτης ἀτελὴς ἡ ὅλη [1143] οὐσία καθέστηκεν. Τὰ γὰρ μέρη τῶν οὐσιῶν οὐσίαι εἰσὶν, ὥς φησιν Πορφύριος, ἡ γὰρ οὐσία προβάλλεται

1138. F. l. ἐκθεῖναι.
1139. κάτοχος M. Réd. de E : καὶ τὸ μαθ. δὲ καὶ φυσικὸν τρ. διαστ. ἔχει ... — Réd. de Lb : καὶ τὸ μαθ. δὲ κ. φυσ. σῶμα τὸ τριχῇ διάστατον κ. ἀντίτ. τρεῖς διαστάσεις ἔχει γ. πλ. κ. βάθος. Puis, d'après E corrigé : διὸ καὶ τούτου τοῦ εἴδους λέγομεν βαφὴν εἴσκρ. κάτοχον ...
1140. ὁ M. — ὃ μῆκος — ἀντιτυπίαν om. AE Lb.
1141. εἴδους] τὸ εἶδος AE avant les corrections.
1142. εἴδεον καὶ (om. E) ἀνείδεον κ. πανείδεον AELb, mel. — ἡ ὑποδεχομένη M.
1143. διὸ καὶ μέρος αὐτῆς καλεῖται Lb.

δύναμιν, καὶ ἡ δύναμις ἐνέργειαν, [1144] καὶ ἡ ἐνέργεια τὰ ἐνεργήματα. Αἱ τοίνυν δυνάμεις αἱ οὐσιώδεις ἑκουσίως προέρχονται, καὶ ἀχώριστοί εἰσι τῶν οὐσιῶν. [1145]

✳
✳✳

1.1.34 3. — 33. < ΠΕΡΙ ΑΙΤΙΩΝ. [1146] >

Suite du texte précédent.

Τέσσαρα γάρ εἰσιν αἴτια κατὰ τὸν φυσικὸν Ἀριστοτέλην παντὸς γενητοῦ · ποιητικὸν, ὑλικὸν, (f. 137 r.) ὀργανικὸν καὶ εἰδικὸν, [1147] οἷον ἡ θύρα ποιητικὸν αἴτιον ἔχει τὸν τέκτονα τὸν ποιήσαντα, ὑλικὸν, [1148] ξύλον, σίδηρον, κόλλαν, ὀργανικὸν σκέπαρνον, τέρετρον, καὶ τὰ λοιπὰ, εἰδικὸν, αὐτὸ τὸ ἔνυλον εἶδος θύρας, ἢ ἄλλο τι. Κατὰ δὲ Πλάτωνα [1149] καὶ ἕτερα δύο εἰσίν, παραδειγματικὸν καὶ ἀποτελεσματικόν.

✳
✳✳

1.1.35 3. — 34. Enchainement de la Vierge.

Suite du texte précédent (sans titre).

1. Ὑδραργύρου πῦρ πυρὶ κρατοῦντες, καὶ πνεῦμα πνεύματι συνάψαντες, [1150] ἵνα δεσμεύσωμεν τὴν φυγαδοδαίμονα κόρην διὰ χειρῶν. [1151] Διαφόρων ὀστέων Περσῶν κατακαυθέντων διὰ τῆς τοῦ πυρὸς βίας, [1152] ἀπώλεσεν τὴν ἰδίαν πνευμάτωσιν. [1153]

2. Καὶ αὖθις ἀναγάγωμεν τὰ δύο σώματα καὶ συνερχομένων τῇ μίξει καὶ μεταμορφουμένων, εἰς παλιγγενεσίαν τρέπονται · ὁ ἄψυχος [1154] ψυχοῦται, καὶ ὁ ἀσώματος σωματοῦται, καὶ ἕτερόν τι οὐ δέχονται. [1155]

1144. ἡ γὰρ οὐσία] Cp. Damascius, περὶ ἀρχῶν, p. 183. éd. Kopp.
1145. Après τῶν οὐσιῶν, AE Lb continuent, sans division et sans titre, avec le morceau suivant.
1146. Titre ajouté dans M : περὶ ἐτίον (main du 15e siècle ?).
1147. Sur ποιητικόν, Cp. Aristote, Génération et Corruption, 1, 7; sur ὑλικόν, Métaphys. 1, 3; sur ὀργανικόν, Morale à Eudème, 7, 10; sur εἰδικόν, Physique, 2, 3.
1148. κόλλα M.
1149. Πλάτωνα] Cp. Platon. Timée, p. 37 D (?).
1150. E mg. : *Corrige* ἡμεῖς δὲ διὰ τοῦ ἰοῦ ὑδραργύρου πῦρ ... et au-dessous : 1 A. ιος αργυρου (*sic*). Réd. adoptée par Lb. — κροτοῦντες M.
1151. ἵνα δὲ τμήσωμεν M.
1152. διαφέρων ὀστᾶ περσ. κατακαυθέντα M; (διαφ. γὰρ ὀστέων περσῶν — πν.) *sic* E.
1153. ἀπώλεσαν M.
1154. ἀγαγὼν Lb. — καὶ συν.] συν. γὰρ AE Lb.
1155. καταμεταμορφ. Lb. — τρέπεται AE Lb.

✳
✳✳

1.1.36 3. — 35. Les Hommes Métalliques.

Suite du texte précédent (sans titre).

Οὗτος ὁ χαλκάνθρωπος ὃν ὁρᾷς ἐν τῇ πηγῇ μετεβλήθη τοῦ σώματος,[1156] καὶ γέγονεν ἀσημάνθρωπος. Μετ' ὀλίγας οὖν ἡμέρας βλέπεις αὐτὸν καὶ χρυσάνθρωπον · πότιζε δὲ αὐτὸν μετὰ ὀξάλμης · οὕτω γὰρ γίνεται λευκὸν καὶ ἁρμόδιον.

✳
✳✳

1.1.37 3. — 36. ΚΑΔΜΙΑΣ ΠΛΥΣΙΣ.

Transcrit sur M, f. 137 r. — *Collationné sur* A, f. 110 v. ;— *sur* E, f. 38 v. ;— *sur* Lb, page 133. — *Chap.* 30 *dans* E, 31 *dans* Lb, *de la compilation du Chrétien.*

Λαβὼν καδμίαν τὴν ἐν τῷ χαλκῷ βλισκομένην βοτρυΐτην,[1157] κόψον · σεῖσας, λείωσον ἐπιμελῶς · εἶτα βαλών, τρίψον καὶ εἰς ὕδωρ[1158] βάλε · καὶ ἐν τῷ ὕδατι πάλιν τρίψον τῷ δοίδυκι · εἶτα λείωσον τῇ χειρί · καὶ ὅταν εὖ ἔχῃ, ἔασον ἀπο- (f. 137 v.) καταστῆναι.[1159] Καὶ ἀποσειρώσας, πάλιν βάλε ὕδωρ, καὶ τὸ αὐτὸ ποίει πολλάκις, ἕως ὕδωρ[1160] μείνῃ καὶ ἀπομφολύγωτον · καὶ ἀποσειρώσας, ξήρανον ἐν ἡλίῳ.[1161]

✳
✳✳

1.1.38 3. — 37. ΠΕΡΙ ΒΑΦΗΣ.[1162]

Transcrit sur M, f. 137 v. — *Collationné sur* A, f. 111 r. ;— *sur* E, f. 39 r. ;— *sur* Lb, p. 133. — *Suite du chap.* 30 (E), 31 (Lb) *dans la compilation du Chrétien.* (*Cet article compte néanmoins comme chap.* 31 *dans* E.)

1156. οὗτος ὁ χ.] Rapprocher ce texte du morceau 3, 1, 5 ; Τὸν γὰρ ἱερέα τὸν χαλκάνθρωπον ...
1157. βλισκομένην] (F. l. βλισσομένην) οἰκονομουμένην Lb.
1158. σεῖσαν M.
1159. ἀποκαθεσθῆναι M.
1160. ἀποσυρώσας A E Lb, ici et plus loin. — ἕως ἂν εἰς ὕδωρ μὲνῃ Lb.
1161. ἀποπομφυλογώσας ὀλίγον Lb.
1162. Titre omis AE Lb. E Lb l'insèrent dans le texte après ἐργάσηται.

Ἐὰν μὴ ἐπιεικῶς ἐργάσητε μέλαιναν βαφὴν, ἐκφέρει ἄφευκτον τὴν [1163] ἐργασίαν τοῦ ἀργύρου. Οἱ Ἀγαθοδαιμονῖται καλοῦσιν < καταβαφὴν > τὴν οὕτω λειουμένην · τὴν δὲ ἕψησιν ἐκάλουν βαφὴν. Ἄλλο γὰρ θέλουσιν εἶναι βαφὴν, καὶ ἄλλο καταβαφήν. Βαφὴν οὖν λέγουσι [1164] τὸν ἄργυρον, καταβαφὴν δὲ τὸν χρυσόν. Καὶ ἐπὶ τῆς καύσεως τοῦτο [1165] εὑρήσεις · ἄλλην καῦσιν βαφικὴν, καὶ ἄλλην καταβαφικὴν, καὶ τὰ ἄλλα πάντα ἕως ἀραιώσεως καὶ παρατροπῆς, καὶ τῶν ἄλλων πάντων τῷ [1166] λόγῳ διυποπτεύουσι.

*
**

1.1.39 3. — 38. ΠΕΡΙ ΞΑΝΘΩΣΕΩΣ.

Transcrit sur M, f. 137 v. — *Collationné sur* A, f. 111 r. ;— *sur* E, f. 39 r. ;— *sur* Lb, p. 137. — *Chap.* 32 *de la compilation du Chrétien dans* E Lb.

« Οὐ πᾶσιν ἔδοξεν, ὦ γῦναι, ἀπὸ τῆς λευκώσεως αὐτίκα συνάπτειν τὴν ξάνθωσιν. Ἑψόμενον γὰρ τὸ λευκὸν σύνθεμα ἐπιπολὺ ἐπὶ τὸ ξανθὸν τρέπεται. » Καὶ μετ' ὀλίγον · « Ἄλλοι τι περιττόν τι [1167] τούτων ἐποίησαν. Ἐάσαντες γὰρ ἕως ψυγῇ, κατήνεγκαν καὶ ἐλείωσαν ἐν ἡλίῳ ὕδωρ θεῖον ξανθὸν, ἃς ἐδιδάχθησαν ἡμέρας, καὶ μετὰ τοῦτο [1168] ἔψησαν καὶ ὤπτησαν. » Καὶ μετ' ὀλίγον · « Τὸ δὲ ἀπολελυμένον ὕδωρ [1169] θεῖον, τὸ δι' ἀσβέστου μέρη δύο, καὶ θείου μέρος ἓν, τὸ ἐν χύ- (f. 138 r.) τρᾳ [1170] ἐψημένον καὶ ἀποσειρούμενον · καὶ πάλιν ἑψούμενον, [1171] τουτέστι τὸ ὕδωρ τὸ θεῖον, τὸ εἰς ἄμφω χρώματα βαλλόμενον. [1172] »

*
**

1163. ἐργάσηται mss. — Réd. de Lb : ἐργ. περὶ βαφῆς, κ. μελ. β. ἐκφέρη ἄκρ. τὴν ἐργ. αὐτοῦ. — μελαίνην M. — ἐκφέρῃ mss.
1164. λέγειν M.
1165. ἄργυρον] ἄσημον A E Lb ; E mg. : signe de l'argent. — καύσεως] οὐσίας A E Lb. E mg. aj. δὲ τῆς καύσεως.
1166. ἀρεώσεως M ; ἀρεόσεως A.
1167. καὶ μετ' ὀλίγον om. A E Lb, qui lisent ensuite καὶ τινὲς τὶ περιττὸν τούτων ἐποίησαν.
1168. ἡλίῳ] signe du soleil et de l'or MAE ; χρυσῷ Lb. — ἃς] ἐφ' ἃς AE Lb.
1169. ἀπολύμενον M ; ἀπολυμένον A. Corr. conj.
1170. ὕ. θείου Lb. — δι' ἀσβ. ἐποίησαν Lb. — μερῶν M.
1171. ἀποσυρούμενον Lb.
1172. Réd. de Lb : τὸ ὕδ. τοῦ θείου, τὸ εἰς θεῖον ὕδωρ χρώματι βαλλόμενον, τὸ ἀέριον ὕδωρ φημί. — Après βαλλόμενον, M continue avec le fragment d'Agatharchide (voir la notice du ms. M.)

1.1.40 3. — 39. ΤΟ ΑΕΡΙΟΝ ΥΔΩΡ. [1173]

Transcrit sur A. f. 111 r. — *Collationné sur* E, f. 39 v.;— *sur* Lb, p. 137. — E *et d'après lui* Lb *continuent le texte précédent sans séparation.*

1. Πρώτων ὑγρῶν τινος δεῖται τὸ τοιοῦτον σύνθεμα, ἵνα, φησὶν, [1174] ἡ ὕλη φθαρεῖσα ἀμετάτρε- (f. 111 v.) πτον τὸ εἶδος φυλάξῃ, καὶ ἐκ [1175] τούτου φθαρεῖσα ἐσήμανεν ἐπὶ χρόνου τινὸς, διὰ τὸ « εἰς τοῦτο σήπεται. » Σῆψις γὰρ οὐ γίνεταί ποτε, εἰ μὴ δι' ὑγροῦ τινος. Ὁ γὰρ κατάλογος τῶν ὑγρῶν, φησὶν, ἐπιστεύθη τὸ μυστήριον.

2. Περὶ δὲ τῶν ψάμμων · ὅτι περὶ αὐτῶν πάντες φροντίζουσιν λόγον, [1176] ἄρξομαι πάλιν τῆς ἐξ αὐτῶν μαρτυρίας, χάριν τῆς σῆς δυσπιστίας.

3. Ζώσιμος τοίνυν, ἐν τῇ τελευταίᾳ ἀποχῇ πρὸς Θεοσέβειαν ποιούμενος τὸν λόγον, φησίν · « Ὅλον τῷ τῆς Αἰγύπτου βασιλεῖ, ὦ γύναι, [1177] ἀπὸ τῶν δύο τεχνῶν τούτων καθέστηκεν, τῶν τε μερικῶν καὶ τῶν [1178] φυσικῶν καὶ ψάμμων. Ἡ γὰρ ἀλλοιουμένη θεία τέχνη, τουτέστιν ἡ [1179] δογματικὴ περὶ ἧς ἀσχολοῦνται ἅπαντες οἱ ζητοῦντες τὰ χειροτμήματα [1180] ἅπαντα καὶ τὰς τέχνας, τὰς τέσσαράς φημι < αἳ > δοκοῦσι τοῦ [1181] ποιεῖν, μόνοις ἐξεδώθη τοῖς ἱερεῦσιν. Ἡ γὰρ φυσικὴ ψαμμουργικὴ βασιλέων ἦν, ὥστε καὶ ἐὰν συμβῇ ἱερεῖ σοφῷ λεγόμενον, ἑρμηνεύσαντα [1182] τοῖς ἐκ τῶν παλαιῶν, ἢ ἀπὸ προγόνων, ἐκληρονόμησαν καὶ ἔσχον. Καὶ ἰδὼν ταύτης τὴν ἀκολουθίαν τὸ συνετὸν οὐκ ἐποίει · ἐτιμωρεῖτο γὰρ, ὥσπερ οἱ τεχνῖται οἱ ἐπιστάμενοι βασιλικὸν τύπτειν νόμισμα οὐχ ἑαυτοῖς τύπτουσι, ἐτιμωροῦντο οὗτοι. »

3. Τοῦτό ἐστι τὸ παρὰ τῶν ἀρχαίων γραφῶν φημιζόμενον κοσμικὸν μήνυμα, ἡ μυστικὴ ἡ τῶν Αἰγυπτίων καὶ ἱερογραμματέων Αἰγύπτου, [1183] θυεία, ἀνθ' ἧς ἡ τῶν φύσεων συγγένεια τέρπει τὰς ὁμοουσίους φύσεις. [1184] Τοῦτό ἐστι τὸ ὀρφα- (f. 112 r.) ϊκὸν ὁμοούσιον, καὶ ἡ ἑρμαϊκὴ λύρα, [1185] ἐν ᾗ τῶν οὐσιῶν ποθεινή τε καὶ ἐναρμόνιος ἀποτελεῖται συμπλοκή. Μιγνύμεναι γὰρ καὶ ὡς προσῆκεν ἀπὸ τῆς < γῆς > ἐπὶ τὸν οὐράνιον χορὸν, καὶ ἀμείβοντος αὐτὰς πυρὸς ἀνατρέχουσιν. [1186]

1173. Voir Olympiodore, 2, 4, 33, 34 et 35.

1174. Réd. de Lb : Πρὸ δὲ τῶν ὑγρῶν τίνος δεῖται ... Πρῶτον ὑγροῦ τινος δεῖται Ol.

1175. καὶ ἐκ τούτου τοῦ φθ. Lb. (Cp. Ol. § 35).

1176. φροντιζ., λόγον ἄξωμεν Lb.

1177. Ὅλον ... Début du livre intitulé περὶ τελευταίας ἀποχῆς (3, 51) dont les variantes sont désignées ici par un astérisque. F. l. ὅλον τὸ τῆς Αἰν. τὸ βασίλειον comme dans et dans Ol. § 35.

1178. μερικῶν] κερικῶν, *alias* κυρικῶν ⋆. F. l. καιρικῶν.

1179. ἀλλοιουμένη] καλουμένη.

1180. περὶ ἣν ἀσχολ. ⋆. La suite se sépare de la τελευταία ἀποχή pour se rapprocher de la citation faite par Ol.

1181. τὰς τιμίας τέχνας Ol. — τι ποιεῖν Ol.; δοκεῖ τὸ πᾶν ποιεῖν Lb.

1182. ἱερέα ἢ σοφὸν λεγ. Ol.

1183. μήνυμα] μίμημα Lb.

1184. Après θυεία] addition de Lb : καὶ αὖθις ἐπὶ τὸ προκείμενον ὁ λόγος · ἡ τ. φύσεων ...

1185. ὀρφεικὸν Lb. F. l. ὀρφικὸν.

1186. χῶρον Lb.

4. Κἀντεῦθεν μεταξὺ μελάνσεως καὶ λευκώσεώς ἐστιν ἡ ταριχεία καὶ τῶν εἰδῶν ἡ πλύσις μεταξὺ δὲ λευκώσεως καὶ ξανθώσεώς [1187] ἐστιν ἡ χοωποίησις · καὶ οὕτω ξανθώσεως καὶ ἰώσεως, μέσος δέ ἐστιν [1188] ὁ τοῦ συνθέματος διχασμός. Τῆς δὲ λευκώσεως πέρας ἡ διὰ τοῦ ὀργάνου μασθωτοῦ οἰκονομία.

5. Μελάνωσις α^{η} τοῦ χωρισθῆναι τὸ ὑγρὸν ἐκ τοῦ σποδίου · ταριχεία β^{α} τοῦ σποδίου ὑγροῦ · πλύσις εἰδῶν τρίτη, ἑπτάκις καέντων [1189] ἐν τῇ ἀσκαλωνίτιδι γάστρᾳ, ἥτις ἐστὶν α^{η} λεύκωσις καὶ ἀπομελάνωσις τῶν εἰδῶν. Λεύκωσις δ^{η}, ἥτις μιχθεῖσα λευκοῖς ὀλίγοις ὕδασιν, ἢ ξανθοῖς, ποιεῖ κηρίον πρὸς τὸ ζητούμενον χειροποιητοῖς. [1190] Ε^{η} ἐπὶ ξάνθωσιν ἡ λεύκωσις φέρουσα, ἡ ξάνθωσις. ΣΤ^{η} ὡς πρόκειται ὁ διχασμὸς τοῦ συνθέματος. Ζ^{η} ἥτις μερισθεῖσα εἰς δύο, καὶ τὸ μὲν ἓν μέρος διχαζόμενον καὶ ἰούμενον, μαλάττει, λειοῖ καὶ πηγνύει. [1191]

Addition marginale du ms. A *seul* :

6. Ἄλλοι δὲ, φησὶν, περὶ γρώμ < ατος > καὶ ἑψήσεως καὶ ἔργου μυστικῆς θεωρίας. Ἀρχ < ὴ > μὲν ὁ χαλκὸς ἐμβαλλόμενος μετὰ τῆς οἰκονομίας ἐν τῷ ἐργαλείῳ τῆς πρ < ά > ξεως ἐπιδείκνυται ὀμμάτων τέρψιν, ἐν δὲ τῷ χρονίζειν γιν < ο > μένης ἀπαμαυρώσε < ως > μετὰ τοῦ κόμμεως χρυσ < ὸν > σύνθετον, χρυσὸν ζώμιον καὶ τὰ ἑξῆς. [1192]

*
**

1.1.41 3. — 40. ΠΕΡΙ ΛΕΥΚΩΣΕΩΣ.

Transcrit sur M, f. 118 r. — *Collationné sur* B, f. 90 v. ;— *sur* A. f. 14 v. (= A) ;— *sur* A, f. 92 (= A^2) (*mêmes leçons*) ;— *sur* A, f. 250 v. (= A^3) ;— *sur* K, f. 5 v. ;— *sur* Lc, p. 217.

1. Γιγνώσκειν ὑμᾶς θέλω ὅτι πάντων ἐστὶν κεφάλαιον ἡ λεύκωσις [1193] · μετὰ δὲ τὴν λεύκωσιν, εὐθὺς ξανθοῦται τὸ τέλειον μυστήριον.

2. Ἡ λεύκωσις καῦσίς ἐστιν · ἡ δὲ καῦσις, ἀναζωπύρωσις · αὐτὰ [1194] γὰρ ἑαυτὰ καίουσι καὶ ἀναζωπυροῦσι, καὶ αὐτὰ ἑαυτὰ ὀχεύει, [1195] καὶ ἐγκυοποιεῖ καὶ ἀποτίκτει τὸ ζητούμενον ζῶον κατὰ τοὺς φιλοσόφους.

1187. πλύνσις mss. ici et presque partout.
1188. Réd. de Lb : καὶ οὗτός ἐστιν ὁ τρόπος τῆς ξ. καὶ τῆς ἰ.
1189. Et suiv. ταριχεία δὲ ... τρίτη δὲ et ainsi de suite Lb.
1190. κυρίον A. — Réd. de Lb : ποιεῖ κηρίον, καὶ πρὸς τὸ ξηρίον τὸ ζητ., χειροποιεῖ.
1191. Réd. de Lb : μαλάσσει, καὶ λύει · τὸ δὲ ἕτερον μέρος πηγνύει.
1192. F. l. χρυσοζώμιον. (Cp. 3, 16, 6.)
1193. Ce 1er § forme le début de 3, 54. — Δεῖ γιν. AK Lc. — Réd. de A^3 : περὶ λευκώσεως χρὴ γιν. ἡμᾶς. — M mg. sur une ligne verticale : τέλιον μυ φησὶν.
1194. Cp. les §§ 2 et 3 avec Synésius (2, 3, 4).
1195. Réd. de A^3 : ὀχεύουσι καὶ ἀναζωοπυροῦσι καὶ ἐγγυοποιεῖ.

3. Ἐὰν λευκώσῃς, εὐκόλως βάψεις · εἰ δὲ καὶ ἰώσεις ἢ κινναβαρίσεις, μακάριος ἔσῃ, ὦ Διόσκορε · τοῦτο γάρ ἐστιν τὸ λυτρούμενον [1196] πενίας, τῆς ἀνιάτου νόσου. [1197]

✳
✳✳

1.1.42 3. — 41. ΒΙΒΛΟΣ ΑΛΗΘΗΣ ΣΟΦΕ ΑΙΓΥΠΤΙΟΥ [1198] ΚΑΙ ΘΕΙΟΥ ΕΒΡΑΙΩΝ ΚΥΡΙΟΥ ΤΩΝ ΔΥΝΑΜΕΩΝ ΣΑΒΑΩΘ. [1199] ΣΩΣΙΜΟΥ ΘΗΒΑΙΟΥ ΜΥΣΤΙΚΗ ΒΙΒΛΩΣ.

Transcrit sur A, f. 251 r. — *Contenu aussi dans Laur.*, art. 32. — *Toutes les variantes insérées dans le texte sont des corrections conjecturales.*

1. < Ο > ΤΗΣ ΥΔΡΑΡΓΥΡΟΥ ΣΤΑΘΜΟΣ. — Ἀγαθοδαίμων · πέψον, ῥύου τὸν χρυσὸν, καὶ ἐπιβάλλεται ὁ χαλκός · καὶ γίνεται τὸ δίχυτον πέταλον Μαρίας, [1200] ἵνα πυρὸς καταβαφῆς ἐλαίῳ πίπτῃ < ἢ > μέλιτι, [1201] καὶ θραβαθὴ καὶ ἀναληφθείῃ ὑδράργυρος ὡσεὶ διὰ καμ < άτ > ου. Ὁ χαλκὸς [1202] πάλιν ἰὸς ἴσος συγχωνεύεσθαι τῷ χρυσῷ εἰς ὑδράργυρον σταθμοῦ. [1203] Καὶ ἡ Μαρία · « Ὁπόταν οὖν γένηται μάλαγμα καθ' ἑαυτὸ, ἢ δι' ὀξάλμης, καὶ πεφθῇ, συλλείου τῷ θείῳ, ἤγουν αἰθάλῃ θείου, ἢ ληκυθίῳ, [1204] καὶ κηροτακίδι · καὶ ἐπίβαλε ἢ συλλείου καὶ βλέπε εἰ ἐτελείωσας · εἰ δὲ [1205] μὴ ἐτελείωσας ξανθῷ τινι ἰὸν ἡμῶν, ὃς ἦν μετὰ τοῦ προβαφίου, [1206] καὶ ὁποιὸν χρυσόν ἐστι τέλειον, ἵνα μὴ ξανθωθέντα αὐτόν · ἐπίβαλε πάλιν [1207] σὺν τῷ προβαφίῳ ἢ συλλείου < μετὰ > τραπέντος ἀργύρου, τοῦ κελοῦ [1208] ἀστράπτοντος, τοῦ ἰοῦ μέρος α', τοῦ ὠμοῦ μύσεως, προβαφίου, [1209] ὡς εἶπεν, χαλκοῦ τὸ μέρος λύει.

2. Πέπτεται, κἂν γὰρ μὴ ἔχῃ ὑδράργυρον δεῖ πέπτειν, ὅτι πρὸ τοῦ [1210] πυρὸς οὐ βαφή · τὸ δὲ ἀπὸ τῶν ὑλῶν καθάρσιον, ἵνα δείξῃ (f. 251 v.) ὅτι ἐστὶ καθαρόν. [Πείραζε δὲ ἀπὸ τῶν ὑλῶν καθάρσιον, ἵνα δείξῃ ὅτι ἐστὶ καθαρόν ·] πείραζε δὲ ἢ καὶ χώνευε · ἂν ἔχῃς τὰς δύο ἀγωγὰς, [1211] καὶ τὴν Ἰουδαίων καὶ τοῦ ... μὴ ὀκνήσῃ οὖν

1196. διόσκωρε M.
1197. ἐκ πενίας A.
1198. αἰγύπτου A Laur.
1199. θεῖον A.
1200. Cp. 3, 12, 1, p. 149, l. 2.
1201. F. l. ἵνα πρὸς καταβαφὴν ἐλ. πέπτῃ.
1202. θραβαθὴ] F. l. θραυσθῇ (?) — F. l. ἀναληφθῇ ἡ ὑδρ.
1203. F. l. ἰῷ ἴσος (*M. B.*). — F. l. συγχωνευέσθω. — F. l. εἰς ὑδραργύρου σταθμὸν.
1204. αἰθάλης A.
1205. εἰ] ἢ A.
1206. ὃς] ὁ A.
1207. F. l. ὁποιὸς χρυσός ἐ. τέλειος.
1208. κελοῦ] lire εἰκέλου, comme dans 3, 43, 1.
1209. ὁμοῦ A.
1210. πέμπεται A. — δὴ πίπτειν A.
1211. ἔχεις A.

πειράζειν κατὰ μέρος πάντα οἷα ὑπεθέμην σοι. Οὐ γὰρ ἀμφιβολίας < αἰτία > ἐστὶν ἡ ὑπόθεσις, ἀλλ' ἵνα συ πειράσῃς ἔσοι ἡ τύχη ἐνήλατός ἐστιν ἢ εἰς πάνυ εὐτυχής. [1212] Ἐμπεσὼν εἰς τὰ μαθήματα ταῦτα, οὐκ ἔστι ἔσοι ἀτυχής · ἀλλὰ γὰρ [1213] νικήσεις μεθόδῳ πενίαν, τὴν ἀνίατον νόσον, μάλιστα ἐὰν εὐεὶ εἰσοὶ [1214] καὶ φροντίσῃς, διῶξον τοὺς κωλύτας, ὅτι διὰ τῶν μυρίων βίβλων, καλὸν [1215] λευκωθεὶς καὶ ξανθωθεὶς ὁ χαλκὸς, εἰς τὴν δίπλωσιν χύμεντος μόνον [1216] ἐστὶν ἐπιτήδειος, καὶ ἰωθῇ, καὶ διὰ μυρίων μεθοδευθῇ μόνον χύμεντός [1217] ἐστιν ἁρμόδιος, ὁ δὲ χαλκὸς ἡμῶν, τουτέστιν τὸ πᾶν σύνθεμα · ὅπερ [1218] μὲν ἦν ἡ λημματικὴ (καὶ αὐτῇ αὐτοῖς ἐδήλωσαν), ἡ ἀπὸ αἰῶνος [1219] ζητουμένη καταβαφὴ, καὶ μὴ εὑρισκομένη εἰ μὴ ὧδε · Καὶ τίς ἡ [1220] αἰτία αὐτοῦ ἐπιτήδειος, ἐδήλωσα σοι περὶ τοῦ χαλκάνθου στίχον · λέγει ὅτι ὧδε καὶ ὁ χαλκὸς βάπτει, καὶ ὁ μόλυβδος, καὶ πᾶν τὸ δεκτικὸν [1221] τῆς βαφῆς.

*
**

1.1.43 3. — 42. ΒΙΒΛΟΣ ΑΛΗΘΗΣ ΣΟΦΕ ΑΙΓΥΠΤΙΟΥ ΚΑΙ ΘΕΙΟΥ [1222] ΕΒΡΑΙΩΝ ΚΥΡΙΟΥ ΤΩΝ ΔΥΝΑΜΕΩΝ ΣΑΒΑΩΘ.

Transcrit sur A, f. 260 r. — *Contenu aussi dans Laur.*, art. 36. — *Les variantes insérées dans le texte sont des corrections conjecturales.*

1. Λόγος βίβλου ἀληθὴς Σοφὲ Αἰγυπτίου, καὶ θείου Ἑβραίων κυρίου τῶν δυνάμεων σαβαώθ. Δύο γὰρ ἐπιστῆμαι καὶ σοφίαι εἰσίν · ἡ τῶν Αἰγυπτίων καὶ ἡ τῶν Ἑβραίων βεβαιοτέρα ἐστὶν δικαιοσύνης θείας [1223] · ἡ γὰρ τῶν ἀγαθωτάτων ἐπιστήμη τε καὶ σοφία κυριεύει ἀμφοτέρων ἐκ τῶν αἰώνων ἔρχεται · ἀβασίλευτος γὰρ αὐτῶν ἡ γενεὰ καὶ αὐτόνομος [1224] · ἄϋλός τε καὶ μηδὲν ζητοῦσα τῶν ἐνύλων καὶ παναφθόρων [1225] σωμάτων · ἀπαθῶς γὰρ ἐργάζεται · νῦν δωρεὰς δὲ εὐχῇ, χημείας σύμβολον φέρεται < ἐκ > κοσμοποιΐας, τοῖς τε σώζουσιν καὶ καθαιροῦσιν τὴν ἐν τοῖς στοιχείοις συνδεθεῖσαν θείαν ψυχὴν, μᾶλλον δὲ θεῖον πνεῦμα φυραθὲν τῇ

1212. ἔσοι] F. l. εἴ σοι. — ἐνίλατος A. — F. l. ἢ εἴ πάνυ εὐτυχής.
1213. F. l. οὐκέτι ἔσῃ.
1214. νικήσεις μεθόδῳ πενίαν ...] Cp. Synésius, 2, 3, 4. — ἀνίαρον A. — εὐεὶ εἰσοὶ ...] F. l. εὖ εἴσῃ καὶ φροντίσῃς διῶξαι.
1215. F. l. καλῶς.
1216. F. l. χυμευτὸς.
1217. F. l. καὶ ἰώσει A. F. l. κἂν ἰωθῇ.
1218. F. l. ὅδε.
1219. αὐτῇ] F. l. αὐτὴν.
1220. τίς] τι A.
1221. F. l. λέγων.
1222. αἰγύπτου A Laur. Corr. conj. — θείου A. Corrigé d'après Laur. cité par Bandini, Catalogue de la Laurentienne.
1223. θείας] θξ (sc. θεὸς ?) A.
1224. ἐκ] ἐκτέων A.
1225. ζητὸν A. — Παμαφθόρων A. F. l. παμφόρων.

σαρκὶ, ὑποδείγματος χάριν, ὥσπερ ὁ ἥλιος ἄνθος [1226] πυρὸς καὶ ἥλιος οὐράνιος, καὶ δεξιὸς ὀφθαλμὸς τοῦ κόσμου, οὕτω καὶ ὁ χαλκὸς, ἐὰν ἄνθος γένηται διὰ τῆς καθάρσεως, ἥλιός ἐστιν ἐπίγειος, βασιλεὺς ὢν ἐπὶ γῆς, ὡς ὁ ἥλιος ἐν οὐρανῷ.

2. Οὐδαμοῦ εὑρίσκω τὰς παντελείας καταβαφὰς λαμβανούσας ἥλιον, οἷον τὴν Δημοκρίτου, καὶ τὴν μονάδα τὴν παραδιδοῦσαν τὴν σκυθικὴν κώμαριν · τῆς δὲ τελείας εὑρίσκω λαμβάνουσαν, οἷον τὴν Ἶσιδα, [1227] ἣν προσφωνεῖ ὁ Ἡρῶν. Εὑρίσκω ἡλίου ἐξίωσιν · χρυσοζώμιον καὶ ἀργυροζώμιον [1228] ἐπὶ σελήνην ποιεῖ σελήνης, ἵνα σαπῇ μετὰ τοῦ σιδηροχάλκου [1229] · ὁμοίως αὗται εἰς τὰς (f. 260 v.) σήψεις ἀργύρωσιν λαμβάνουσιν. [1230] Ὁμοίως δὲ καὶ εἰς οὐ μόνον καὶ διπλώσεις καὶ τριπλώσεις λαμβάνουσιν, καὶ χρυσοῦ καὶ ἀργύρου [καὶ] τὰς μίξεις · ὥστε χρὴ < διὰ > τῶν μεθοδειῶν, ἄνευ χρυσοῦ καὶ ἀργύρου ἐργάσασθαι καὶ τὰς διπλώσεις μὴ χωρίζειν χρυσὸν ἢ ἄργυρον, ὡς καὶ πορνείαν καὶ μῆνιν [1231] · χρυσὸν οὐ λαμβάνουσιν τὸ μείζω ὅτι ἐὰν τὸν χαλκὸν ἀσκίαστον ποιήσῃς, [1232] λευκανεῖς τοῖς λευκαίνουσιν φαρμάκοις, καὶ ξανθώσεις τοῖς ξανθοῦσιν [1233] φαρμάκοις, καὶ βάψεις τὴν καδμίαν ἢ κιννάβαριν χρυσὸς ποιεῖται [1234] εἰς τὰ ἡφαίστεια προσεφώνησα, εἰς σκοροποιία, ἐν ᾗ τὸ πᾶν μυστήριον [1235] τῆς καταβαφῆς κέκρυπται.

3. Τοῦ δὲ χαλκοῦ λευκανθέντος καὶ μελανωθέντος καὶ ξανθωθέντος, βάπτεις τὸν ἄσημον, χρυσὸν ὁρῶν, ἢ τὸν λευκανθέντα χαλκόν [1236] · ἀπὸ γὰρ τοῦ χαλκοῦ γίνεται ὅλα τὰ εἴδη, λέγω κιννάβαριν, καθμίαν, χρυσὸν, σαθὴν (?), καὶ ὅσα ἄλλα. Ὁ γὰρ μόλυβδος εἰς πολλὰ τρέπεται [1237] · οὕτως καὶ ὁ ἐξ αὐτοῦ χαλκὸς ὁ στεφανίτης. Εὑρήσεις δὲ εἰς τὰ [1238] ἐφέπεια τὰς ποιήσεις χρυσοῦ, ἔκ τε τούτων ἐπιπλοκαὶ ὅλα τὰ εἴδη [1239] γίνεται · ἀλλήλων γάρ εἰσιν αἱ οὐσίαι οἰκονομίαι · πολλαὶ δὲ μορφαὶ ἐν οἰκονομίαις · ὅλα δὲ κρίναντες βελτίοσιν χρῶ.

✳
✳✳

1226. φυραθέντι σαρκὴ A.

1227. σκ. καὶ καμρὶν A. — F. l. τὰς δὲ τελ. εὑρ. λαμβανούσας. — F. l. ἴσιδος.

1228. προσφωρεῖ A. — ἡλίου en toutes lettres. F. l. χρυσοῦ. — ἀργυροζ.] σεληνοζύμιον A avec le signe de la lune ou de l'argent au-dessus du mot.

1229. σελήνην puis σελήνης, surmontés du signe, A. F. l. ἐπὶ ἀργύρου π. ἄργυρον.

1230. ἀργύρωσιν] signe de l'argent surmonté de σιν A.

1231. πορνίαν καὶ μήνην B.

1232. F. l. τὸν μείζω.

1233. ξανθωνοῦσιν A. — βάψει A.

1234. F. l. τῇ καδμείᾳ ἢ κινναβάρει.

1235. F. l. σκωριοποιΐαν (mot supposé).

1236. βάπτει A.

1237. σαθὴν] σαθ suivi d'un signe figurant un C couché, surmonté de l'abréviation de ὴν ou de ὶν, A. — F. l. ὡς γὰρ ὁ μόλ.

1238. ἐξ αὐτὸν A. Les papyrus offrent des exx. de ἐξ avec l'accusatif.

1239. ἐφέπεια] F. l. ἡφαίστεια. — F. l. ἐπιπλοκῶν.

1.1.44 3. — 43. ΖΩΣΙΜΟΥ ΠΡΟΣ ΘΕΟΔΩΡΟΝ ΚΕΦΑΛΑΙΑ. [1240]

Transcrit sur M, f. 179 r. ;— *Collationné sur* A, f. 237 r. ;— *sur* K, f. 89 r. ;— *sur* Lc, p. 231 ;— *sur* E, f. 182 v. (*texte écrit dans* E *par le copiste de* La, Lb, Lc, *probablement d'après* Lc. — *Contenu aussi dans Laur.*, art. 29 ; *dans le Vind.*, art. 12. — *Sauf indication spéciale, les variantes de* Lc *existent aussi dans* E.

1. Περὶ ἐτησίου, τουτέστιν ἐκ τοῦ παντὸς συνισταμένου, ὡς ἐτησίου λιθου, καὶ ταῦτα πολυχρησίμου. Πρὸς γὰρ τὰς οἰκονομίας ἕτερον χρῶμα δείκνυσιν · ἄλλο ἀπὸ κηροτακίδος καὶ ἄλλο ἀπὸ τῆς ἐλαιώσεως, [1241] ξανθὸν ἢ μέλαν ξανθὸν, ἢ ἡπατίζον, ἢ σμυρνίζον, ἢ κηρίζον, ἢ ὅσα οἶδας · ἢ μέλαν, χρυσῷ εἰκέλιον, ἀστράπτον, ὡς καὶ ἐπὶ μέλανσιν [1242] ποιεῖ, ὡς καὶ εἰς ξάνθωσιν. Ὁ ξανθὸς γίνεται καὶ αἱματώδης καὶ ἀρραγὴς, καὶ τὸ τελευταῖον ὡς κρόκος ξηρὸς. Καὶ ἐὰν δὶς ἢ τρὶς τῷ θείῳ καῇ κατὰ τὰς αὐτῶν γραφὰς, καὶ ἄλλοτε ἐπ' ὀλίγον βολβίτοις, ταῦτά εἰσιν τὰ χρώματα τὰ μετάτρεπτα βεβαίως ξανθούμενα τὴν [1243] πρώτην ἐπὶ τὸ βέλτιον καὶ οὐκ εἰς τὸ χεῖρον ἔχοντα. Αὗται αἱ [1244] οἰκονομίαι κάτοχοι καλοῦνται βαφῶν ἀληθῶς ἀφεύκτων.

2. Περὶ τοῦ ὅτι ἡ βαφὴ, ἤτοι ἀλλοίωσις ἡ γινομένη ἐν τῇ ἰώσει, [1245] οὔτε λευκὴ, οὔτε ξανθὴ ἐπαγγέλλεται · τὰ γὰρ προλαβόντα δύο [1246] θεῖα, τό τε λευκὸν καὶ ξανθὸν, ταῦτα τὰ ὀνόματα ἐπιστεύθησαν καὶ [1247] τὰς βαφάς · αὕτη δὲ ἡ βαφὴ, ἤτοι ἀλλοίωσις ἡ σηπτικὴ, ἐπάνω [1248] πάντων ἐστίν.

3. Περὶ ἄλλων δύο θείων μὲν λεγομένων, οὐκ ὄντων δὲ θείων ὡς τὰ πρῶτα, ἀλλὰ συνθέματα νῦν παρ' αὐτοῖς καλούμενα θεῖα, οὐχ ὡς θεῖα, ἀλλὰ διὰ τὸ ἀποτελούμενον ἀπ' αὐτῶν θεῖον ἔργον.

4. (f. 179 v.) Περὶ τοῦ ὅτι πρῶτον ἐν τῷ συνθέματι γίνεται τὸ κατόχιμον, καὶ πυρίμαχον καὶ βαφικόν · ἀφ' ἑνὸς ἡμῖν καὶ δευτέρου [1249] ἐν τῷ ἀσήμῳ τῷ φυσικῷ, τῷ βαπτομένῳ χρυσῷ τὸ λοιπὸν ἡμῖν φανερούμενον. [1250] Ἡ δὲ τοῦ ζητουμένου λύσις ἐστὶν αὕτη. [1251]

5. Περὶ τοῦ ὅτι τὸ πρῶτον ἐν τῇ μήτρᾳ ἀφανῶς ἡμῖν γίνεται τὸ κατόχιμον ἐκ δύο, ἔκ τε σπέρματος καὶ αἵματος · καὶ πυριμαχεῖ τὸ πλασσόμενον ζῶον πρὸς τὸ τῆς μήτρας πῦρ, καὶ βάπτεται [1252] · τουτέστιν χρῶμα λαμβάνει καὶ σχῆμα καὶ

1240. Titre dans A : Περὶ αἰτησίου λίθου τουτέστιν ἐκ τοῦ παντὸς γινομένου. Début du texte : ὡς αἰτησίου λίθου καὶ ταῦτα πολὺ χρησίμου.

1241. Réd. de Lc : ἐλαιώσεως λευκὸν ἢ μέλαν, ἢ ξ. ἢ ἡπ.

1242. χρ. εἴκελλον M ; χρυσοείκελον Lc.

1243. χρ. ὧν μετατρέπονται A.

1244. F. l. ἔρχοντα.

1245. ἤγουν ἡ ἀλλοίωσις ἡ γεν. Lc.

1246. λευκὴν ο. ξανθὴν MK.

1247. λ. κ. ξ. εἰσι, καὶ ταῦτα Lc. — καὶ τὰς βαφάς] κατὰ τὰς γραφὰς τῶν βαφῶν Lc.

1248. αὕτη δὲ ἡ ἀλλ. τῆς βαφῆς ἡ σηπτ. Lc.

1249. M mg. : M^{Y}, avec renvoi à ἀφ' ἑνὸς.

1250. Signe du mercure au-dessus de ἀσήμῳ M. — χρυσῷ en signe MK ; signe de la chrysocolle A ; εἰς χρυσὸν Lc.

1251. λῦσις M ; λεύκωσις A.

1252. πῦρ, καταβάπτεται Lc.

μέγεθος, πάντα ἐν τῷ ἀφανεῖ. Ὅταν δὲ ἀποτεχθῇ, καὶ ἡμῖν πεφανέρωται · καὶ οὕτω χρὴ ἐργάζεσθαι, καὶ μὴ τῇ ὁμωνυμίᾳ τῶν γραφῶν ἢ ἄλλων τινῶν πλανᾶσθαι.

6. Περί σήψεως καὶ ἐξαιματώσεως καὶ ζυμιώσεως καὶ μεταβολῆς, καὶ παλιγγενεσίας · καὶ περὶ ἰώσεως καὶ ἐξιώσεως, καὶ τῶν τοῦ [1253] ἰοῦ διαφόρων ὀνομάτων. Καὶ ὅτι καὶ ὁ ἰὸς λέγεται ὕδωρ θείου ἄθικτον, καὶ κώμαρις σκυθικὴ καὶ φονοειδὴς, καὶ χρυσόσπερμον · καὶ πᾶν σπέρμα, καὶ ἰὸς χαλκοῦ, καὶ ὕδωρ χαλκοῦ, καὶ ὕδωρ χαλκάνθου, καὶ ἄνθος χαλκοῦ, καὶ < φάρμακον > χαλκειῶδες, καὶ φάρμακον μελιτῶδες, [1254] καὶ γλυκὺ, καὶ ἀρραγὲς, ἀντὶ τοῦ ἐγλυκισμένον, ἀπὸ τῆς τῶν [1255] δηλητηρίων καταφορᾶς. Καὶ οὐ μόνον ἀρσενικῶς καὶ θηλυκῶς καὶ [1256] οὐδετέρως αὐτὸ κεκλήκασιν, ἀλλὰ καὶ ὑπὸ κοριστικῷ μέτρῳ χαλκύδριον · ἄλλοι δὲ ὕδωρ μαζυγίου · μάζα δὲ ὁ χαλκός · ἀφ' οὗ καὶ ἐν ταῖς ἰουδαϊκαῖς καὶ ἐν πάσῃ γραφῇ μαζὺς ἀνέκλειπτος, ἣν ἔλαβεν [1257] Μοϋσῆς παρὰ κυρίου λόγου · παραφθαρὲν δὲ τῷ χρόνῳ τὸ [1258] ὄνομα ἐγένετο μαζύγιον · ἄλλοι (f. 180 r.) ἀπὸ τοῦ φανοῦ τοῦ ἀνασπῶντος, τοῦ ἔχοντος μαζούς. [1259]

7. Περὶ οἰσμοῦ, τουτέστιν ἐκφωνήσεως, ἐναποσβεννυμένου πυρός · καὶ σιγμοῦ, τουτέστιν συριγμοῦ, πνεύματος ἐκπεμπομένου ἐξ ὑποστροφῆς [ἢ σιγμοῦ, τουτέστιν πνεύματος ἑπομένου καὶ ἐφελκομένου], [1260] ἤγουν ἀναρροφωμένου καὶ εἰσφερομένου. [1261]

8. Περὶ τοῦ ὅτι εὑρόντες τινὲς τῶν ἱερέων γραφὴν ἄφθονον οὐκ ἐπίστευσαν ἐργάσασθαι, εἰ μὴ διὰ τούτων τῶν συγγραμμάτων διὰ τὴν ἀπόδειξιν.

9. Περὶ τοῦ ὅτι τὴν τέχνην τῆς ἰώσεως ἔχειν τινὰ μετουσίαν, [1262] εἰς τὰ ἄλλα δύο βιβλία. Καὶ γὰρ εἰ κατ' εἶδός ἐστιν ἄλλη, ἀλλ' οὖν γε κατὰ γένος ἡ αὐτή. Καὶ γὰρ αὐτὴ πάλιν ἐστὶν βαφική. [1263]

10. Περὶ τοῦ ἐὰν λέγῃ ἐξίωσιν ἢ ἀσκιάστωσιν ἢ στροφὴν ἢ ἐκστροφὴν ἢ φύσει κεκρυμμένην ἢ ἀκαύστωσιν, περὶ τῆς λευκώσεως λέγει.

11. Περὶ τῶν οἰκονομιῶν τῶν χρησιμευόντων ἀπὸ τοῦ λευκοῦ ἐπὶ τὸ ξανθὸν, καὶ ἀπὸ τοῦ ξανθοῦ ἐπὶ τὸ λευκὸν, μάλιστα ἐπὶ τῶν [1264] θείων δεῖ ζητεῖν οἷον οὕτως, ἐν τῇ ὑστεραίᾳ < τάξει > τῶν ζωμῶν, [1265] φησὶν ὁ φιλόσοφος · « Πῆξαι

1253. παλιγγενησείας MK. — Après ἰώσεως] καὶ μεταβολῆς add. A. — M mg. : περὶ ἰοῦ (main du 13e siècle).

1254. χαλκυῶδες MK ; χαλκοειδὲς A.

1255. ἐγλυκισμένως MK ; ἐγλυκισμένος A.

1256. καταφ.] μεταφορᾶς Lc.

1257. ἐμ πάσῃ M, comme dans les papyrus et dans les inscriptions.

1258. Après λόγου] λ M. F. l. π. κυριακοῦ λόγου.

1259. Ce passage trouve son interprétation dans un article du papyrus X de Leyde sur le ferment métallique. Voir l'Introduction, p. 29 et 41 (*M. B.*).

1260. ἑπομ. καὶ add. A.

1261. Tout ceci s'interprète aussi par l'un des papyrus gnostiques (*M. B.*). — F. l. ἀνερροφωμένου.

1262. ἡ τέχνη τ. ἰ. ἔχει Lc. — ἔχει A.

1263. καὶ γὰρ ἡ αὐτὴ Lc.

1264. μάλιστα δὲ Lc.

1265. οἷον οὕτως] ὡς Lc. — ὑστέρᾳ Lc. — δεῖ ζητεῖν] ζήτι (pour ζήτει) A, puis : ἵνα γὰρ αὐτὸς ἐν τῇ ὑστέρα ἀπὸ τοῦ λευκοῦ εἰς τὸ ξανθὸν τῶν ζ. φησὶν ὁ φ.

ἀρσενίκου γ° α΄, καὶ θείου γ° S ἢ [1266] φλοιοῦ λίτραν τῷ αὐτῷ συστάθμιζε · ἐπὶ τοῦ ξανθοῦ, ἀντὶ τῆς [1267] συσταθμίας τῶν φλοιῶν, βάλλε κρόκον καὶ ἐλύδριον, καὶ ἀντὶ τῶν λευκῶν γῶν, τὴν αὐτὴν συσταθμίαν ὤχρας καὶ σινώπιδος ἢ χαλκάνθου ἢ σώρεως. Καὶ τὰ μὴ ἔχοντα συσταθμίαν ὡς σοφὸς ἅρμοσον [1268] ὡς ἰατρῶν παῖδες. Τὰ γὰρ ὑγρα σχεδὸν ἐπίκοινά εἰσιν, πλὴν ὀλίγα ἅτινα οἶδας. [1269] »

12. Περὶ τοῦ δεῖν κατανοεῖν ὅτι τε δεινὸν ὑπέστημεν κάματον [1270] ἔστ' ἂν συνουσιωθῶσιν, τουτέστιν συγγαμήσωσιν αἱ φύ- (f. 180 v.) σεις τὸ τηνικαῦτα, καὶ ὅτι πᾶς χρήσιμος λόγος αὐτοῖς ἐφάνη [1271] · καὶ ὅτι δεῖ ζητεῖν τοῦτον τὸν λόγον · ἢ ὅτι τέχνη ἢ ὁτιοῦν ποτέ ἐστιν τὸ τί ἐστιν, καὶ ὁποῖον τί ἐστιν, καὶ ἵνα τί ἐστιν. [1272]

13. Περὶ τοῦ ὅτι ὅλαι αἱ καταβαφαὶ τῶν ἀρχαίων ἀληθεύουσιν τῇ ἀγωγῇ τοῦ στερεοῦ συνθέματος, τουτέστι τῆς ἰώσεως. Ἐὰν γὰρ βάλῃς τῆς ἰώσεως μέρος α΄, καὶ τῶν οἰκονομηθέντων εἰδῶν, ἤγουν ξηρίων ὧν καλοῦσιν ἐπιβαφίων, μέρος α΄, καὶ ὀπτήσῃς, ἕξεις τὴν [1273] ἀλήθειαν.

14. Περὶ τοῦ ὅτι ἄκαυστόν ἐστι τὸ μηκέτι ἔχον ὃ καυθήσεται, [1274] ἀλλ' ἀποκεκαυμένον, ὡς τὰ ξύλα καὶ οἱ χυλοὶ ἐπὶ τῶν πυρετῶν τῶν μὴ κεκριμένων.

15. Περὶ τοῦ ὅτι ἡ ὑπόσταθμις τῶν κεκαυμένων, τουτέστιν ἡ σποδὸς, αὕτη ἐστὶν τοῦ παντὸς ἐνέργεια.

16. Περὶ τῆς τῶν τεσσάρων στοιχείων εἰς ἑαυτὰ μεταβολῆς, [1275] καὶ ὅτι οὐ τὰ μόνον ἀπὸ γῆς καὶ ὕδατος μεταβαλλόμενα πῦρ γίνονται, [1276] ἀλλ' ὅτι καὶ ἀναφέρονται · ἀνωφερὲς γὰρ τὸ πῦρ · ταύτην δὲ τὴν [1277] εἰκόνα οὐκ εἰκῇ λαμβάνει, ἀλλὰ διὰ τὴν τέχνην καὶ τὰ ταύτης εἴδη. Ὅτι πρῶτον γῆ ὄντα καὶ ὕδωρ, ὕστερον γίνονται πῦρ, [1278] καὶ ἄνω φέρονται · καὶ ὅτι τῇ ποιότητι μόνῃ τὰ στοιχεῖα ἐναντιοῦνται ἀλλήλοις, καὶ οὐχὶ τῇ οὐσίᾳ · ἡ γὰρ οὐσία τῇ οὐσίᾳ οὐκ ἔστιν ἐναντία, καθὸ οὐσία. Διὰ τοῦτο καὶ οὐσίας ἐκάλεσεν τὰ τέσσαρα [1279] γράμματα ὁ φιλόσοφος τῇ ἑνώσει τῆς οὐσιότητος ἑλκούσας τὸ ἔξωθεν [1280] διαχριόμενον φάρμακον. Καὶ ὅτι ὥσπερ τὰ στοιχεῖα εἰς ἑαυτὰ ἀναλυόμενα πάντα κατεργάζεται, οὕτω καὶ ἡ τέχνη · καὶ ὥσπερ αἱ τέσσαρες τροπαὶ μεταβαλλόμεναι νικῶσιν τὰς προτέρας κράσεις, οὕτω καὶ αἱ τέχναι ταῖς μεταβολαῖς νικῶσι τὰς φύσεις. [1281]

1266. Réd. de Lc : πῆξον ἀρσ. οὐγγίαν μίαν καὶ θ. οὐγγίαν μίαν καὶ τῷ αὐτῷ συσταθμ., καὶ ἐ. τ. ξ. ἐπὶ τῆς συστ. — M mg. : grosse étoile.

1267. τὸ αὐτὸ συσταθμιάζειν A. — F. l. τὰ αὐτὰ συστάθμιζε.

1268. ἅρμοσον] ἕνωσον A.

1269. ὀλίγων Lc, mel. — οἶδας] οἶσθα E, mel.

1270. καμ.] κίνδυνον καμάτων A.

1271. τὸ τηνικαῦτα] τὰ χρονικώτατα A; Lc. om. — A et Laur. (?) continuent avec le morceau suivant (Καὶ ὅτι τοὺς χρησίμους ... 3, 44).

1272. ἵνα τί, pour διὰ τί, comme dans la Bible des Septante.

1273. ὧν καλ.] τῶν καλουμένων Lc, f. mel.

1274. ὃ] F. l. ᾧ.

1275. M mg. : grosse étoile.

1276. F. l. οὐ μόνον τὰ.

1277. Signe du cinabre au-dessus de ἀναφέρονται M.

1278. Même signe au-dessus de πῦρ M.

1279. M mg. : série de points ascendants, avec renvoi à τέσσαρα.

1280. γράμματα] γράμματα *vel* σώματα E. F. l. στοιχεῖα?

1281. M mg. inf. : λίαν ἡ πυκτὶς καὶ πάνυ παγίως ξένη φίλοι.

✳
✳✳

1.1.45 3. — 44. Sur les Divisions de l'Art Chimique.

Texte fort corrompu dans A (f. 238 v.) *et dans Laur., manuscrits dans lesquels il est la continuation du texte précédent* (p. 217, l. 24). *Nous avons reconnu récemment qu'il se trouve aussi dans le Philosophe anonyme* (*ci-après* 6e Partie). *Nous avons cependant cru devoir conserver une partie du texte et de la traduction, répondant au titre ci-dessus. A partir de la 4e ligne, nous avons suivi le texte de* M (fol. 181 et 182).

1. Καὶ ὅτι τοὺς χρησίμους λόγους αὐτοὺς δεῖ ζητεῖν · καὶ τί δεῖ [1282] φάναι τὴν τῶν λόγων, ἤ ὅτι τέχνη, ἢ ὁτι πρότερόν ἐστιν ἢ τὸ τί δέ ἐστιν, ἢ ὁποῖον τί δεῖ, < καὶ > ἵνα τί δεῖ · καὶ περὶ νοημάτων ἀνεπιγράφησαν ἃ ἣν καθέκαστα καὶ ἄτομοι πάντες, ὃν καὶ ἄπυρα, καθὼς ἔστιν εὑρεῖν [1283] ἀπειρίαν ἄτομον. Ὥσπερ δὲ δ΄ ὄντων τῶν μουσικῶν γενικωτάτων στοχῶν, α΄, β΄, γ΄, δ΄, γίνονται παρ' αὐτοῖς τῷ εἴδει διάφοροι στοχοὶ κδ΄, [1284] κέντροι καὶ ἴσοι καὶ πλάγιοι καθαροί τε καὶ ἄηχοι · καὶ ἀδύνατον ἄλλως [1285] ὑφανθῆναι τὰς κατὰ μέρος ἀπείρους μελῳδίας τῶν ὕμνων, [1286] ἢ θεραπειῶν ἢ ἀποκαλύψεων, ἢ ἄλλου σκέλους τῆς ἱερᾶς ἐπιστήμης, καὶ οἷον ῥεύσεως, ἢ φθορᾶς, ἢ ἄλλων μουσικῶν παθῶν ἐλευθέρας · τοῦτο κἀνταῦθα ἔστιν εὑρεῖν τὸν δυνατὸν ἐπὶ τῆς μιᾶς καὶ ἀληθοῦς κυριωτάτης ὕλης τῆς ὀρνιθογονίας.

Les § 2, 3, 4, se retrouveront dans la 6^e^ partie.

5. Καὶ ὥσπερ τετραμερῆ τὴν ἀρίστην φιλοσοφίαν, ἤτοι τὴν ὕλην [1287] ὑπὸ τῆς φύσεως δεδειγμένην εὑρίσκομεν τὴν γενικήν τε καὶ εἰδικὴν, καὶ τάξεων τὰς διαφορὰς, οὕτω καὶ τὴν καλὴν φιλοσοφίαν ζητοῦντες, τετραμερῆ ταύτην εὑρήκαμεν, τὸ πρῶτον ἔχουσαν μέλανσιν, δεύτερον λεύκωσιν, καὶ τὸ τρίτον ξάνθωσιν, καὶ τέταρτον ἴωσιν. Πάλιν δὲ, [1288] ὡς ἕκαστος τῶν εἰρημένων στοχῶν ἐξ ὧν γενικῶν ἔχει πλησίον ἑαυτοῦ πάντως ἡμιστόχιον ἢ μεσόκεντρον, δι' οὗ κατὰ τάξιν προσβαίνει ἢ ἀποβαίνει, οὕτω κἀνταῦθα, μεταξὺ μελανώσεως καὶ λευκώσεώς ἐστιν ἡ ταριχεία, καὶ τῶν εἰδῶν ἡ πλύσις μεταξὺ δὲ λευκώσεως καὶ ξανθώσεώς ἐστιν ἡ χοοποίησις · τούτων ξανθώσεώς τε καὶ ἰώσεώς ἐστιν ὁ τοῦ συνθέματος διχασμός. Τῆς δὲ ἰώσεως πέρας ἡ διὰ τοῦ ὀργάνου [1289] τοῦ μασθωτοῦ οἰκονομία, καὶ ἡ ἕνωσις τῶν μερῶν · καὶ ἀδύνατον ἄλλως, οἷον (f. 182 v.) τὴν καθ' εἱρμὸν ἐπιστήμης. Εἰ γὰρ

1282. αὐτοὺς] F. l. αὐτοῦ.
1283. καὶ ἄτομοι πάντως καὶ ἄπειροι. M. — στοίχων A.
1284. στοίχει A.
1285. καθὰ εἴρηται καὶ ἀ ἤχει A.
1286. μέρους A.
1287. Cp. ce paragraphe avec 3, 29, 2.
1288. Réd. de A : Πάλιν δὲ, ὥσπερ ἑκάστου τῶν εἰρημένων ἁπάντων ἀπὸ στίχου ἐξ ἑνὸς γενικοῦ ἕξει πλύσιν αὐτοῦ παντὸς ἡμισοστοίχειον.
1289. Après πέρας] ἀδύνατον add. A.

καί [1290] τινες ξάνθωσιν ἄνευ λευκώσεως ἐπετήδευσαν, ὧν ἐστιν ὁ Πηβίχιος, [1291] ἀλλ' οὐκ ἄνευ ταριχείας, ἢ πλύσεως τῶν εἰδῶν, ἅτινά ἐστι μέρη τῆς τελείας λευκώσεως. [1292]

Le § 6 sera donné dans la 6e partie. — Reprise du ms. A.

7. Ὅτι τὸ παρὸν βιβλίον ὀνομάζεται βίβλος μεταλλικὴ < καὶ > χυμευτικὴ περὶ χρυσοποιίας, ἀργυροποιίας, ὑδραργύρου πήξεως, ἔχων [1293] αἰ- (f. 240 v.) θάλας, βαφὰς φούρμουσαι ἀπὸ βροτισίων, ὡσαύτως [1294] καὶ λίθων πρασίνων, καὶ λυχνιτῶν, καὶ ἑτέρων πάντων χρωμάτων, καὶ μαργάρων, καὶ δερμάτων ἐρυθροδανώσεις βασιλικῶν. Ταῦτα δὲ πάντα γίνονται ὑπὸ ὑδάτων θαλασσίων, ὠῶν, διὰ τέχνης μεταλλικῆς.

*
**

1.1.46 3. — 45. ΥΔΡΑΡΓΥΡΟΥ ΠΟΙΗΣΙΣ. [1295]

Transcrit sur M, f. 107 r. — *Collationné sur* A, f. 146 v.;— *sur* K, f. 32. v. — *Presque toutes les variantes de* M *ont été reportées dans* K, *sur la ligne.*

1. Λαβὼν ψιμύθιον καὶ σανδαράχην ἴσα λείωσον μετὰ ὄξους ἕως [1296] γένηται γλοιῶδες. Εἶτα βαλὼν εἰς (f. 107 v.) λωπάδα ἀγάνωτον, πώμασον πώματι χαλκῷ, περιπήλωσον, καὶ ὑπόκαιε ἄνθραξιν ἠρέμα, [1297] καὶ ὅτ' ἂν εἰκάσῃς ὅτι καλῶς ἔχει, ἀναπώμασον ἐλαφρῶς, καὶ πτερῷ ἄφελε τὴν ὑδράργυρον.

2. Λαβὼν ἄμμον τὴν χρυσίζουσαν, λείωσον, ψῦξον ἕως ἂν ξηρανθῇ, [1298] καὶ συμμίξας πάλιν ἅλατι, ὄπτησον ἐν καμίνῳ ἡμέραν καὶ νύκτα. Καὶ ἄρας πλῦνε ἕως < ἂν > τὸ ἅλας ἀπορρεύσῃ · καὶ πάλιν ξήρανον, [1299] καὶ φύρασον ὄξει, καὶ ἔασον βραχὺ ἕως συμπίῃ καὶ ξηρανθῇ · καὶ πάλιν δὸς [1300] εἰς τὴν κάμινον μὴ ἀποπλύνας, καὶ τοῦτο ποίει καθάπαξ, φυρῶν τῷ ὄξει, καὶ διδοὺς εἰς τὴν κάμινον τετράκις ἢ πεντάκις, ἵνα γένηται ὡς μίλτος. Ἔπειτα λαβὼν ἕλκυσμα ἀσήμου ἰσόσταθμον, λείωσον καὶ [1301] ἀνάμιξον. Εἶτα χωνεύσας χώρισον, καὶ μόλυβδον ἐπίπασσε ἐπ'

1290. ἄλλως οἰκονομεῖθαι A. — καθ' ἡρμῶν A. F. l. καθ' Ἑρμῆν.
1291. ἐπὶ τι δεύτυσαν A. — ἂν ἐν ταρυχεῖ A.
1292. Après λευκώσεως] A ajoute ἔχει.
1293. πήξεως] ποιήσεως A. Corr. conj. — ἔχων] F. l. ἔχουσα.
1294. F. l. ἀφορμώσας ἀ. βροντησίων.
1295. περὶ ἀργυροποιΐας AK.
1296. K mg. : ὑδραργύρου ποίησις (en signes) et d'une main plus récente : *cf.* 75. 75 est le plus ancien n° de E, qui toutefois ne contient pas ce morceau.
1297. ὑπόκαιε] ὑποκάπνισον, ἤγουν ὑποκαίων AK.
1298. ἄμμον] ἄμμυλλον AK. — K mg. : ἄμμον, puis, comme ci-dessus : *cf.* 75.
1299. ἀπορεύσει M ; ἀπορεύσῃ AK. Corr. conj.
1300. Réd. de AK : ἔασον βραχεῖναι (pour βραχῆναι) ἕως τοῦτο ἅλας συμπίῃ.
1301. ἀσημίου AK (d'où le néogrec ἀσήμι). — λείωσον puis le signe de l'argent AK.

ἀμφοτέροις, μέχρις ἂν ἀναλωθῶσι, καὶ ψύξας εὑρήσεις τὸν μόλυβδον σκληρόν · τοῦτον ψωμαρίῳ χώνευσον · ἐκφύσησον ἵνα δείξῃ. [1302]

3. Λαβὼν γῆν ἀπὸ τῆς ὄχθης τοῦ ἐν Αἰγύπτῳ χρυσορρόου ποταμοῦ, [1303] συμφύρασον ἀφαιρέματι ἐκ τοῦ σιλιγνοπωλίου προσείσας καὶ τοῦ [1304] λεπτοῦ προσμίξας καὶ ποιήσας φύραμα, ἀναμίγνυε εἰς λεκάνην ὀστρακίνην, [1305] ἄχρις ἂν κολληθῇ β′ ἐπιμελῶς καὶ γένηται ὡς φύραμα ἄρτου. Εἶτα ἀναλαβὼν καὶ πλάσας ἀρτίσκους, καὶ στοιβάσας ἐπιμελῶς ἐπὶ [1306] σανίδος, ψῦξον εἰς ἥλιον ἄχρις οὗ ξηρανθῇ λίαν. Καὶ βαλὼν εἰς ὅλμον, καὶ ἀναλαβὼν, βάλε εἰς χύτραν καινήν · καὶ πωμάσας ἐπιμελῶς τὴν χύτραν, θὲς ἀπέχουσαν τοῦ χαμαὶ πα- (f. 108 r.) λαιστήν. [1307] Καὶ ἀνακάλυψον αὐτὴν βολβίτοις, καὶ ὑπόκαυσον ὑποκάτω. Καὶ ὅτ' ἂν ἀποσχῇ ἡ φλόξ, ἀνακαλύψας, κίνει σιδήρῳ ἄχρις ἂν ἴδῃς ὅλον ὠπτημένον καὶ ὅμοιον σποδῷ μελαίνῃ. Ἐὰν δὲ μὴ ᾖ γεγονὼς, ἀνακινήσας [1308] πάλιν τῇ αὐτῇ ἀγωγῇ καὶ ἀνακαλύψας, κατάμαθε καὶ κάθελε ἀπὸ τοῦ πυρὸς, καὶ ἔα ψυγῆναι ἡμέραν μίαν. Καὶ ἄρας δράκα ταῖς δύο χερσὶ, βάλε εἰς λεκάνην ὀστρακίνην, καὶ ἐπιβαλὼν ὑδράργυρον, κίνει τῇ χειρὶ γυμνάζων. Εἶτα ἄρας ἄλλην δράκα ἐκ τῆς χύτρας, ἐπίβαλλε ἄλλην [1309] δράκα ὕδατος, καὶ ἀπόπλυνε. Καὶ πάλιν ἑτέραν δράκα ἐπίβαλλε, καὶ ὁμοίως ἀπόπλυνε. Ποίει δὲ τοῦτο ἕως κενωθῇ ἡ χύτρα, καὶ τότε πλῦνον [1310] καθαρῶς ἕως ἂν καταντήσῃ εἰς τὴν ὑδράργυρον. Καὶ βαλὼν εἰς ῥάκος, [1311] ἐκπίασον ἐπιμελῶς ἕως κενωθῇ · καὶ λύσας τὸ ῥάκος, εὑρήσεις τὸ στερρόν. Τοῦτο ποιήσας, σφαιρίον βάλε < εἰς > βατάνιον καινὸν, καὶ ποίησον εἰς τὸ μέσον ἐκ τῆς ἀπαλειφῆς ὡς βοθύνιον, καὶ κάθες τὸ σφαιρίον. Καὶ πωμάσας, θὲς ἵνα φθάσῃ ἴσως · καὶ τὸ περὶ τὸ ἥμισυ μέσον τοῦ βατανίου πάλιν [1312] περιπώμασον τὴν χύτραν · καὶ ἔστω πρόσκολλος τῷ βατανίῳ. Καὶ ἐπιθεὶς ἐπὶ κυθρόποδος, ὑπόκαιε ξύλοις στερροῖς ἢ βολβίτοις λαμπρῶς καίων, [1313] ἄχρι πυρρωθῇ λίαν τοῦ βατανίου ὁ πυθμήν. Μόνον ὕδωρ ἔστω σοι [1314] παρακείμενον, ἐξ οὗ τὴν οὔσκην σπόγγῳ παράβρεχε, προσέχων μὴ τὸ [1315] ὕδωρ εἰς τὸ βατάνιον γένηται · ὅτ' ἂν δὲ γένηται ἔμπυρον, κάθελε τὸ βατάνιον ἐκ τοῦ πυρὸς, καὶ ἀνακαλύψας, εὑρήσεις ὃ ζητεῖς. [1316]

1302. τοῦτον — δείξῃ] καὶ τοῦτο τὸ ψωμάριον χων. A. Après δείξῃ (lire δέξῃ ?), M continue seul.
1303. χρυσορόα M.
1304. ἀφαίρεμά τι M. — F. l. σιλιγνοπαλίου (de σίλιγνις, fleur de farine et de πάλη, même sens).
1305. F. l. τῷ λεπτῷ.
1306. στυβάσας M. Corr. conj.
1307. M mg. inf. du f. 107 v. : ἐκφύσισον (pour ἐκφύσησον) καὶ πλύνον. (14 ou 15e siècle).
1308. μὴ] μοι M. Corr. conj.
1309. F. l. γυμναζόμενος.
1310. M mg. : μάλαγμα, sur une ligne verticale, en lettres retournées. — τούτω M.
1311. ῥάκκος M ici et partout.
1312. F. l. καὶ τῷ π. τ. ἤ. μέσῳ.
1313. M mg. : πυροστάτης (1re main) avec renvoi à κυθρόπ.
1314. πυρωθῇ M. Corr. conj.
1315. οὔσκην (sans accent) M. Le signe ῀ au-dessus de ce mot. — M mg. : πώμα (lire πῶμα) ἐστὶν κακάβου (l. κακκάβου), de la 1re main, avec renvoi à οὔσκην. Cp. Hésychius, *voce* ὑρτάνα, ὑρτάνη (même sens).
1316. ὃ ζητεῖς] ὄξη τρεῖς M. Corr. conj.

*
**

1.1.47 3. — 46. ΠΕΡΙ ΔΙΑΦΟΡΑΣ ΧΑΛΚΟΥ ΚΕΚΑΥΜΕΝΟΥ.

Transcrit sur A, f. 249 v. — *Toutes les variantes insérées dans le texte sont des corrections conjecturales.*

1. Χαλκὸν κεκαυμένον ποιοῦσίν τινες διὰ θείου, ὡς αἱ τάξεις [1317] τῶν ἄλλων λέγουσιν ἀσαφῶς, μόνος ὁ Δημόκριτος ἀφθόνως [1318] ...

2. Αἰθάλη ἐστὶν δι' ἀμβίκων καιόμενον λεπτῷ πυρὶ κοβαθίων. Περὶ δὲ πήξεων τῶν κατασπωμένων σκωριδίων, τοῦτο ἐπεθύμησαν ἰδεῖν οἱ τῶν ἀρχαίων προφῆται, ἀλλ' ὅτι καὶ περὶ τῶν ψάμμων πάντες φροντίζουσι. Ὅτι ἡ ὕλη τῶν σωμάτων τετρασωμία λέγεται. Ὅτι καὶ μόλυβδον μέλανα ἐπεθύμησαν ἰδεῖν οἱ Αἰγύπτιοι · ἐν δὲ τῇ ἐργασίᾳ ἐστὶν ἀπομέλανσις. Γίνωσκε δὲ ὅτι καὶ τὰ σκωρίδιά εἰσι τὸ [1319] ὅλον μυστήριον · μέλανα γὰρ οἴδασιν οἱ ἀρχαῖοι τὸν μόλυβδον < ὅτι > ἐστὶν ὁ ὑπὸ οὐσίας. Καὶ πῶς γίνεται ; ἐὰν μὴ τὰ σώματα ἀσωματώσῃς καὶ ποιήσῃς τὰ δύο ἓν, οὐδὲν τὸ προσδοκώμενον ἔσται. [1320] Καὶ ἐὰν μὴ τὰ πάντα [τῷ] περιεκλεπτυνθῇ, καὶ ἡ αἰθάλη πνευματωθεῖσα καὶ πηχθῇ, οὐδὲν εἰς πέρας ἀχθήσεται · χαλκὸν δὲ μόλυβδον εἶναι [1321] αἱ οἰκονομίαι τῶν δύο σκωριῶν. Σκεύαζε δὲ ζωμὸν ἀπὸ μολύβδου [1322] · λαβὼν νίτρου μέρη δ′, στυπτηρίας στρογγύλης μέρος α′, μύσεως [1323] μέρη δύο, ἅλατος καππαδοκικοῦ μέρη δ′ · βάλε ἐν ὄξει λίαν δριμυτάτῳ, καὶ ποίησον ζωμόν · ἐν τούτοις γὰρ ἀποσκιάσεις τὰ πέταλα · οὕτως γὰρ ὁ ζωμὸς ἀρχὴ καὶ τέλος ἐδοκι- (f. 250 v.) μάσθη. Ἐὰν [1324] γὰρ ἴδῃς τὰ πάντα σποδὸν γινόμενα, τότε νόει ὅτι καλῶς ἐσκεύασας [1325] ταῦτα τῷ πυρί. Τοῦτο τὸ σκωρίδιον λείωσον καλῶς καὶ ἐξυδάτωσον καὶ ἀπόπλυνον ἑξάκις καὶ ἑπτάκις ἐν γλυκοῖς ὕδασι καθ' ἑκάστην χωνείαν ποιῶν · διὰ γὰρ τῆς δυνάμεως τοῦ ψάμμου καὶ αἱ χωνείαι γίνονται · διὰ γὰρ ταύτης τῆς πλύσεως γλυκαίνεται τὸ σύνθεμα · μετὰ γὰρ τὸ τέλος τῆς ἰώσεως, ἐπιβολῆς γινομένης, γίνεται τοῦτο [1326] καὶ βεβαία ξάνθωσις · καὶ τοῦτο ποῖων ἐκφέρεις ἔξω τὴν ἔνδον κεκρυμμένην. « Ἔκστρεψον γάρ, φησίν, τὴν φύσιν, καὶ εὑρήσεις τὸ [1327] ζητούμενον · ἐκστρεφομένης τῆς φύσεως, οὐκέτι λευκὸν ὁρᾶται. [1328] »

1317. Ce 1er § est une reproduction de 3, 13, avec quelques variantes, qui ont été reportées au passage cité.
1318. ἀσαφῶς] σαφῶς M. Lu comme dans 3, 13.
1319. Cp. Olympiodore, 2, 4, 37.
1320. Cp. Ol. § 40. — F. l. οὐδὲν τῶν προσδοκωμένων ἔσται, comme dans Ol.
1321. καὶ] F. l. μή.
1322. F.l. < δηλοῦσιν > αἱ οἰκ.
1323. Signe du cinabre au-dessus de στρογγύλης A.
1324. ἐδοκιμάσθην A. — Ἐὰν γὰρ ἴδῃς jusqu'à εὑρήσεις τὸ ζητ. (l. 26)] Olympiodore a cité ce passage (probablement de mémoire) en l'attribuant à Zosime (2, 4, 47).
1325. γὰρ] F. l. δὲ.
1326. γινομένων A.
1327. ἐκφέρει A.
1328. φύσεις A.

✳
✳✳

1.1.48 3. — 47. ΖΩΣΙΜΟΥ ΠΕΡΙ ΟΡΓΑΝΩΝ ΚΑΙ ΚΑΜΙΝΩΝ. [1329]

Transcrit sur M. f. 186 r. — *Collationné sur* K, f. 94 v. — *Contenu aussi dans le Vaticanus* 1174, f. 42.

1. Ἡ τῆς ὁρωμένης καμίνου διαγραφὴ κεῖται, ἧς ὁ φιλόσοφος οὐκ [1330] ἐμνημόνευσεν, εἰ μὴ μόνον πρισμάτων καὶ τῶν ἄλλων, περὶ ὧν ἠρέμα ἐν τῷ περὶ ποσότητος πυρὸς ὑπομνήματι γεγράφηκα · ἑώρακα εἰς τὸ ἱερὸν Μέμφιδος ἀρχαῖον κατὰ μέρος κειμένην τινὰ κάμινον, ἣν οὐδὲ συνθεῖναι εὗρον οἱ μύσται τῶν ἱερῶν. Ἔρρωσο.

2. Πολλαὶ μὲν οὖν ὀργάνων κατασκευαὶ γεγραμμέναι εἰσὶν τῇ Μαρίᾳ · οὐ μόνον ὑδάτων θείων, ἀλλὰ καὶ κηροτακίδων εἴδη πολλὰ καὶ καμίνων. Τὰ οὖν τοῦ θείου ὄργανα πρὸ πάντων ἀναγκαῖον ἐκδοῦναι [1331] · μάλι- (f. 186 v.) στα ἐπειδὴ καὶ αὐτῶν πρὸ πάντων χρεία, βίκος ὑέλινος, σωλὴν ὀστράκινος, πῆχος, λωπὰς, ἄγγος στενόστομον, [1332] ἐν ᾧ ἔστω ὁ σωλὴν εἰς τὸ πάχος τοῦ βικοστόμου αὐτοῦ. Καὶ ἄλλος τρόπος κομιδῆς ὕδατος θείου · ἀλλ' οὐχ ὡς τρίβικος ἔστω σωλὴν, [1333] ἀλλ' εἰς πυθμένα χαλκείου ἐντεθεὶς μήκους πήχεως ἢ ἑνὸς ἥμισυ · τῷ αὐτῷ τρόπῳ καὶ βίκος εἷς, καὶ ὑποκάτω λωπὰς θείου ἀπύρου, καὶ συναρμόσας, κάε. Ὁ δὲ τύπος οὗτος. Ἔχειν δὲ δεῖ ἐπὶ ὅλων [1334] κρατῆρα ὕδατος καὶ περιψᾶν σπόγγῳ τὸ ἄγγος. [1335]

3. Καὶ ἐπὶ τῶν θείων τινὲς τῷ φανῷ < χρῶνται > καὶ τοῖς ὁμοίοις ὀργάνοις τοῖς ἔχουσι κάθισμα ὡσεὶ δρακοντῶδες. Πήσσουσιν καὶ ὑδράργυρον ξανθὴν αὐτὴν καθ' ἑαυτὴν διὰ τῆς τοῦ θείου ἀναθυμιάσεως · τῶν ἀρχαίων γραφῶν, τοῦτο παρέγνωσαν, ἀμοιροῦντος μέντοι γε τοῦ φανοῦ κρύβοντες. Καὶ ἐθαύμασα ἐπὶ ταύτῃ τῇ γραφῇ καὶ ὅτι δύο μυστήρια ἐν αὐτῇ ἐκρύβη φανερά. Καὶ οὐ ζητοῦμεν [ὅτι] πῶς τοῦ θείου ἀπύρου λευκὴ οὖσα καὶ πάντα λευκαίνουσα μόνη τῇ ὑδραργύρῳ [1336] ξανθὸν ἀναδείκνυσιν μή τοι γε καῦσις αὕτη τούτῳ, ἔτι δὲ καὶ αὕτη [1337] λευκὴ οὖσα καὶ δυνάμει καὶ ἐνεργείᾳ, καὶ ὑπὸ λευκοῦ καιομένη, πηγνυμένη, πῶς ἐξέρχεται ξανθόν. Ἔδει οὖν πρό γε πάντων τοὺς νέους ταῦτα ζητεῖν, τὸ δὲ ἕτερον μυστήριον μὴ μόνον μετ' αὐτοῦ πήγνυσθαι, ἀλλὰ μεθ' ὅλου τοῦ συνθέματος.

4. Ἐγέλασα δὲ εἰς ἐξάκουστον γράφων ταύτην τὴν τάξιν λέγουσαν. [1338] Ἐχέτω ἡ λωπὰς, φησὶν, μνᾶν θείου ἀπύρου · καὶ ἐθαύμασα καὶ ἐν τούτῳ ὅτιπερ

1329. Cp. 3, 50, 4.
1330. Lire πρόκειται (leçon de 3, 50, 4).
1331. ὄργανα] dernier mot de ce morceau dans le Vat.
1332. βῆκος MK, ici et partout.
1333. ἔστω] F. l. ἔσται.
1334. Lire καίε.
1335. κρατῆραν MK.
1336. F. l. τὴν ὑδράργυρον ξανθὴν.
1337. F. l. μέν τοί γε. — αὐτῇ MK. Corr. conj.
1338. M mg. : groupe de quatre cercles accolés, avec point à leurs centres, et rejoints deux à deux par un angle. C'est peut-être un renvoi à 3, 50, 3.

οὐκ ἀνεχομένη [ἢ] τοῦ φθόνου ἠξιώσας καὶ τοῦτο γραφῆναί σοι · κατέγνως μάτην τούτου φύσιν · οὐ γὰρ ἐνόησας τί [1339] εἶπεν · καὶ ἐν τοῖς προτέροις ὑπομνήμασιν εἶπον ὅτι τῶν ὑδάτων ποίησιν οὐκ εἶπον, ἀλλ' ἄρσιν · ἕτερον γὰρ ποίησις καὶ ἕτερον ἄρ- (f. 187 r.) σις. Τὴν ἄρσιν < ἕκαστος > αὐτῶν εἶπεν ἀφθόνως · τὴν δὲ ποίησιν οὐδεὶς αὐτῶν ἐξέθετο · τοῦτο γὰρ ἦν τὸ ἐμφανὲς μυστήριον, [1340] τουτέστιν τὸ σφόδρα κεκρυμμένον. Ἡ μὲν ἄρσις τοιάδε, ἡ διὰ τούτων τῶν ὀργάνων · ἡ δὲ ποίησις, ἤτοι σύνθεσις τούτου τοῦ ὕδατος, ἐν τῇ κατὰ πλάτος ἐκδόσει τοῦ ἔργου συγγέγραπται. [1341]

5. Ἑξῆς καὶ τρίβικον συγγράψω. Ποίησον ἐκ χαλκοῦ ἐλατοῦ, [1342] φησὶν, σωλῆνας τρεῖς · λεπτὸν τὸ ἔλασμα, ἐχέτω ἠθμοῦ πάχος ἢ [1343] μικρὸν παχύτερον ὡσεὶ χαλκοῦ ἑνὸς ἥμισυ πάχος. Ποίησον οὖν [1344] σωλῆνας τρεῖς τοιούτους, καὶ ποίησον χαλκεῖον μακρὸν πήχεως, ἔχον [1345] τὸ μῆκος παλαιστὴν, ἄνοιγμα δὲ τοῦ χαλκείου σύμμετρον · οἱ δὲ [1346] τρεῖς σωλῆνες ἔχοντες τὸ ἄνοιγμα, οἷον τράχηλον βίκου κούφου. [1347] Ἱλαροῦντος δὲ ἀντίχειρας δύο εἶναι λιχανοὺς αὐταῖς ταῖς δυσὶ συναρηρότας [1348] ἐκ πλευρῶν τοῦ χαλκείου περὶ τὸν πυθμένα · ἐν ᾧ πυθμένι τρεῖς τρώγλαι προσαρμόζουσαι τοῖς σωλῆσιν καὶ ἁρμοσθέντες προσκολλάσθωσαν, παραδόξως τοῦ ἄνωθεν πνεῦμα ἔχοντος · καὶ ἐπίθες τὸ [1349] χαλκεῖον ἐπάνω λωπάδος ὀστρακίνης, ἐχούσης τὸ θεῖον · συμπηλώσας τὰς συμβολὰς στέατι ἄρτου, ἔνθες ἐπὶ τὰ ἄκρα τῶν σωλήνων βίκους ὑελίνους μεγάλους, παχεῖς, ἵνα μὴ ῥαγῶσιν ἀπὸ τῆς θέρμης τοῦ ὕδατος. Καὶ κομίζου τὸ ἀναβαῖνον ἐν οἷς φάσκει ὁ φιλόσοφος αἵρεσθαι τὸ ὕδωρ.

6. Τὸ δὲ γίγνεσθαι ἢ συντίθεσθαι οὐκ ὀκνήσω σοι γράψαι, δέσποινα · ἔχει δὲ ἡ ποίησις τῶν ὑδάτων οὕτως. Ὕδωρ θείου, ἀρσενίκου, [1350] σανδαράχης, νεφέλη, ὕδωρ φέκλης, ὕδωρ ἀσβέστου, ὕδωρ σποδοκράμβης, ὕδωρ στυπτηρίας, οὔρου, γάλακτος ὀνείου, αἰγείου · κυνὸς γάλα πολλάκις καὶ βόειον ἢ γυναικὸς ἀρσενοτόκου, κατὰ τὸν Ἀγαθοδαίμονα, καὶ ὄξος καὶ ὕδωρ θαλάσσιον καὶ μέλι, καὶ κίκινον ἢ γρὺ, καὶ οὖρον (f. 187 v.) ἄφθορον, καὶ κόμμι. Γίνεται δὲ οὕτως · ἕκαστον [1351] ὕδωρ ὡς ἅλμη δικαία · ἐπὶ δὲ τῶν σποδῶν ὡς ἡ σαπωναρικὴ στάκτη, ἥντινα ἐν τοῖς γραφικοῖς

1339. τούτου φύσιν] F. l. τοῦ φιλοσόφου. Cp. 3, 50, 3.
1340. F. l. ἀφανὲς.
1341. Cp. 3, 16, 10-12.
1342. Cp. 3, 50, 1.
1343. λεπτὸν] λίπανον MK. Corrigé d'après 3, 50, 1, leçon de B. — ἰθμοῦ MK. F. l. σταθμοῦ, comme 3, 50, 1.
1344. χαλκοῦ] F. l. χαλκείου *vel* χαλκίου.
1345. ἔχων MK.
1346. μῆκος] F. l. βάθος (mot suppléé dans 3, 50, 1).
1347. ἔχοντες F. l. ἔχουσι.
1348. ἱλαροῦντος] Ce mot n'offre ici aucun sens. F. l. ἠλαρίῳ. — Réd. proposée, d'après le texte de 3, 50, 1 : οἷον τράχηλον βίκου κούφου · ἠλαρίῳ δὲ τοὺς ἀντίχειρας δύο εἶναι λιχανοῖς αὐτοῦ τοῖς δυσὶ συναρηρότας ...
1349. παραδόξοστοῦ M : παραδόξως τοῦ K. F. l. παραλόξως (mot supposé) τοῦ. (On connaît παραλοξαίνω).
1350. Cp. 3, 25, 1.
1351. ἀφθόρων MK.

τῶν χειροτμήτων σοι προσεφώνησα. Ἐὰν δὲ [1352] μὴ δυνηθῇς συντιθέναι τῇ κοτύλῃ τοῦ ὕδατος εἴδους γ° α΄, οἷον θείου γ° α΄, ὕδατος καθαροῦ γ° α΄, ἀρσενίκου γ° α΄, ὕδατος κ° α΄, δο (?) γ° α΄, [1353] ὕδατος κ°, φέκλης ὀπτῆς, ἀποσβεσθείσης εἰς ὄξος, ἀσβέστου ἀποσβεσθείσης εἰς οὐρόγαλον κ° α΄, στυπτηρίας γ° λυθείσης εἰς ὕδωρ θαλάσσιον κ° α΄, καὶ νίτρου πυρροῦ ὁμοίως · καὶ ἑψήσας ἰδίᾳ < καὶ > ὁμοῦ [1354] τὰ ὕδατα ὀλίγον, ἵνα τὴν δύναμιν λάβῃ, ἀποσειρωσον ἢ ἀπόσταξον εἰς ἄλλην χύτραν, συνεμβάλλων τὸ μέλι καὶ τὸ ἔλαιον. Καὶ ἐὰν μὲν λευκοῦ θείου χρεία, συλλείου τῷ ὕδατι γὴν χείαν, ἀστερίτην, ἀφροσέληνον [1355] ὀπτὸν κοπτικὸν, σαμία, καρικὴ, κιμωλία ἢ στιλβάδα · καὶ βαλὼν εἰς χύτραν [καὶ] κυάνεον γενόμενον τὸ ὕδωρ · μάρμαρον ἐκ [1356] τῆς γῆς βάλλε καὶ μύσι ὠμὸν, καὶ ἄλλο μέρος ἀσβέστου, ἵνα εἰς μέρη β΄, κατὰ τὰς τῶν ἀρχαίων γραφὰς, ἵνα λέγηται τοῦτο τὸ δι᾽ ἀσβέστου [1357] · καὶ ἐπίθες τὸ ὄργανον τῇ χύτρᾳ, καὶ ἀνακόμιζε τὸ ὕδωρ, καὶ χρῶ.

7. Τὸ δὲ ξανθὸν ὕδωρ γίνεται οὕτως. Εἰς πάντα τὰ ὕδατα κατὰ τὴν συσταθμίαν τὴν πρὸς τὴν δεδηλωμένην οὐκέτι λαμβάνουσαν [1358] ἀσβέστου μέρη β΄, ἁλὸς α΄, καὶ ἀφεψήσασα ἓν ἕκαστον, καὶ συμμίξασα συλλείου, οὐκέτι γᾶς λευκὰς, ἀλλὰ ξανθὰς γᾶς · ξανθὸν γὰρ ὕδωρ βουλόμεθα. Αἱ δὲ γαῖ εἰσιν ὤχρα ἀττικὴ καὶ σίνωπις ποντικὴ καὶ [1359] μὺσι ὀπτὸν, καὶ χάλκανθος ὀπτὴ, καὶ τὰ ὅμοια, βοτάναι πᾶσαι ἃς οἴδασι κοινῶς · καὶ λέκιθος, καὶ ὠῶν κρόκος, καὶ ἐλύδριον [1360] (f. 188 r.) τὸ διπλοῦν. Τὰς μὲν πόας οὐ συνενοῖς τῷ ὕδατι, ἀλλὰ μόνον τὰς γᾶς. Καὶ μεταβάλλουσα ὡς ἔθος ἐστὶν λωπάδα, σύμβαλε τὰς βοτάνας, καὶ ἕψει τετράκις ἢ πεντάκις, ἐπιθεῖσα ἐν τῷ ὀργάνῳ, καὶ ἀνακόμιζε [1361] τὸ ὕδωρ καὶ χρῶ μετὰ κόμμεως · καὶ ἀποσκεπάσασα, εὑρήσεις τὰς πόας κατακαείσας, ἀλλὰ καὶ ἀφιείσας τὸ ἴδιον βάμμα, ἤτοι τὸ ἴδιον [1362] πνεῦμα · τούτου τοῦ ὕδατος τοῦ θείου τὸ ἄθικτον ἔχει δύναμιν καὶ φύσιν, ἐὰν ζεστῷ τῷ ὕδατι ἐπιβάψῃς ἄργυρον, ἔστω ἀνεξάλειπτον. [1363] Ἔρρωσο.

✳
✳✳

1.1.49 3. — 48. ΠΟΙΗΣΙΣ ΕΚ ΤΟΥΤΙΑΣ ΑΡΓΥΡΟΥ.

Transcrit sur M, f. 188 r. (*main du* 15e-16e *siècle.*) — *Collationné sur* K, f. 96 r.

1352. F. l. χειροτμημάτων. (Cp. 3, 39, 3 ; 51, 1.) — Ἐὰν δὲ ... Cp. 3, 16, 15.
1353. δο] C'est peut-être une altération du signe de la sandaraque, lequel dans BA ressemble à un Λ terminé par deux boucles. La confusion était possible dès le 11e siècle.
1354. πυροῦ MK.
1355. M mg. : χρεία.
1356. γενάμενον MK, ici et partout.
1357. ἵνα λέγεται M, leçon à retenir si l'on prend ἵνα dans le sens de *oὐ*. — F. l. διάσβεστον (*M. B.*).
1358. πρὸς τὴν] F. l. πρόσθεν.
1359. Cp. 3, 16, 4.
1360. λέκυθος MK.
1361. ἕψει Δ΄ ἢ Πρ, MK. Corr. conj. (*M. B.*). — F. l. ἕψει δ΄ ἢ Μρ scil. ἡμέρας (*C. E. R.*)
1362. κατακαῖσας] MK. Corr. conj.
1363. ἔστω] F. l. ἔσται.

< Λαβὼν > τουτίας ΣΤ$^{\gamma}$ κ′, τρίψον ἕως ἂν γένηται χρυσός · καὶ θείου [1364] ἀπύρου ΣΤ$^{\gamma}$ ε′, τρίψον ἕως ἂν γένηται μόλυβδος. Εἶτα ὠῶν ΣΤ′ λευκὰ λαβὼν, σμήξας, βάλε εἰς βικίον, καὶ ἕψει νυχθήμερα β′. Καὶ ἐκβαλὼν ἐὰν κόπτηται, αὖθις βαλὼν ἕψει ἡμέραν α′. Εἶτα λαβὼν χαλκοῦ ΣΤ$^{\gamma}$ ι′, βάλε εἰς χώνην · καὶ ἐπίβαλε ἀπὸ τούτου κ° ΣΤ′ · καὶ γίνεται ἄργυρος.

*
**

1.1.50 3. — 49. ΤΟΥ ΑΥΤΟΥ ΖΩΣΙΜΟΥ ΠΕΡΙ ΟΡΓΑΝΩΝ ΚΑΙ ΚΑΜΙΝΩΝ ΓΝΗΣΙΑ ΥΠΟΜΝΗΜΑΤΑ ΠΕΡΙ ΤΟΥ Ω ΣΤΟΙΧΕΙΟΥ.

Transcrit sur M, f. 189 r. — *Collationné sur* K, f. 97 r.;— *sur d'autres manuscrits à partir du* § 14 (*voir ci-après*).

1. Τὸ Ω στοιχεῖον στρογγύλον τὸ διμερὲς, τὸ ἀνῆκον τῇ ἑβδόμῃ [1365] Κρόνου ζώνῃ, κατὰ τὴν ἔνσωμον φράσιν · κατὰ γὰρ τὴν ἀσώματον ἄλλο τί ἐστιν ἀνερμήνευτον. Ὁ μόνος Νικόθεος κεκρυμμένος οἶδεν [1366] · κατὰ δὲ τὴν ἔνσωμον τὸ λεγόμενον ὠκεανὸς, θεῶν, φησὶ, πάντων γένεσις καὶ σπορὰ, καθάπερ, φησὶν, αἱ μοναρχικαὶ τῆς ἐνσώμου φράσεως. Τὸ δὲ λεγόμενον μέγα καὶ θαυμαστὸν Ω στοιχεῖον περιέχει τὸν περὶ ὀργάνων ὕδατος θείου λόγον, καὶ καμίνων πασῶν μηχανικῶν [καὶ ἁπλῶν] καὶ ἁπλῶς πασῶν.

2. Ζώσιμος Θεοσεβείῃ ευηειαει. Αἱ καιρικαὶ καταβαφαὶ, [1367] ὦ γῦναι, εἰς χλευασμὸν ἐποίησαν τὴν περὶ καμίνων βίβλον. Πολλοὶ γὰρ εὐμένειαν ἐσχηκότες παρὰ τοῦ ἰδίου δαιμονίου, ἐπιτυγχάνειν τῶν καιρικῶν ἐχλεύασαν, καὶ τὴν περὶ καμίνων καὶ ὀργάνων βίβλον ὡς οὐκ οὖσαν ἀληθῆ. Καὶ οὐδεὶς λόγος αὐτοὺς ἀποδεικτικὸς ἔπεισεν ὅτι ἀλήθειά ἐστιν, εἰ μὴ αὐτὸς ὁ ἴδιος αὐτῶν δαίμων, κατὰ τοὺς χρόνους τῆς αὐτῶν εἱμαρμένης μεταβληθεὶς, παραλαβόντος αὐτοῦ, κακοποιοῦ δὲ εἰπεῖν · καὶ τῆς τέχνης καὶ τῆς εὐδαιμονίας αὐτῶν πάσης κωλυθείσης, καὶ ἐφ' ἑκάτερα τραπέντων τῶν αὐτῶν τύχῃ ῥημάτων, μόλις ἐκ τῶν ἐναργῶν τῆς εἱμαρμένης αὐτῶν ἀποδείξεων, ὡμολόγησαν εἶναί τι, καὶ μετ ῾ ἐκείνων ὧν πρότερον ἐφρόνουν. Ἀλλ' οἱ τοιοῦτοι οὐκ ἀποδεκτέοι οὔτε παρὰ Θεῷ οὔτε φιλοσόφοις ἀνθρώποις · πάλιν γὰρ τῶν χρόνων σχηματισθέντων κατὰ τοὺς (f. 189 v.) λεπτοὺς χρόνους, καλῶς [1368] καὶ τοῦ δαιμονίου σωματικῶς αὐτοὺς εὐεργετοῦντος, πάλιν μεταβάλλεται [1369] ἐφ' ἑτέραν ὁμολογίαν, τῶν προτέρων ἐναργῶν πραγμάτων πάντων λελησμένοι, πάντοτε τῇ εἱμαρμένῃ ἀκολουθοῦντες, καὶ εἰς

1364. ΣΤ$^{\gamma}$] ῾ΣΤγ K, abréviation de ἑξάγιον, 6e partie de l'once. Cp. du Cange, Glossarium infimæ græcitatis, et H. Estienne, Thesaurus, éd. Didot, *voce* ῾Εξάγιον.

1365. M mg. : ὁ λγ (λόγος ?) μῦθος, d'une encre grise.

1366. F. l. κεκρυμμένως.

1367. ευηειαει M ; εὐήει ἀεὶ K. F. l. χαίρειν (?). Cp. 3, 51, 1. — καιρικαὶ] κερικαὶ MK ; Cp. 3, 51, 1. Rapprocher aussi le § 11 du présent morceau.

1368. λεπτοὺς] F. l. ἐκλεκτούς.

1369. F. l. μεταβάλλονται.

τὰς λεγομένας [1370] καὶ εἰς τὰ ἐναντία, μηδὲν ἕτερον τῶν σωματικῶν φανταζόμενοι, ἀλλὰ τὴν εἱμαρμένην. Τοὺς τοιούτους δὲ ἀνθρώπους ὁ Ἑρμῆς ἐν τῷ περὶ φύσεων ἐκάλει ἄνοας, τῆς εἱμαρμένης μόνους ὄντας πομπὰς, μηδὲν [1371] τῶν ἀσωμάτων φανταζομένους, μήτε αὐτὴν τὴν εἱμαρμένην τοὺς αὐτοὺς ἄγουσαν δικαίως, ἀλλὰ τοὺς δυσφημοῦντας αὐτῆς τὰ σωματικὰ παιδευτήρια, καὶ τῶν εὐδαιμόνων αὐτῆς ἐκτὸς, ἄλλο φανταζομένους.

3. Ὁ δὲ Ἑρμῆς καὶ ὁ Ζωροάστρης τὸ φιλοσόφων γένος ἀνώτερον [1372] τῆς εἱμαρμένης εἶπον, τῷ μήτε τῇ εὐδαιμονίᾳ αὐτῆς χαίρειν, ἡδονῶν γὰρ κρατοῦσι, μήτε τοῖς κακοῖς αὐτῆς βάλλεσθαι, πάντοτε ἐναυλίαν ἄγοντες, μήτε τὰ καλὰ δῶρα παρ' αὐτῆς καταδεχόμενοι, [1373] ἐπείπερ εἰς πέρας κακῶν βλέπουσιν. Διὰ τοῦτο καὶ ὁ Ἡσίοδος τὸν Προμηθέα εἰσάγει τῷ Ἐπιμηθεῖ παραγγέλλοντα · τίνα οἴονται οἱ ἄνθρωποι πασῶν μείζονα εὐδαιμονίαν; γυναῖκα εὔμορφον, φησὶ, σὺν πλούτῳ πολλῷ, καί φησι · μήτε δῶρον δέξασθαι παρὰ Ζηνὸς [1374] Ὀλυμπίου, ἀλλ' ἀποπέμπειν ἐξοπίσω, διδάσκων τὸν ἴδιον ἀδελφὸν διὰ φιλοσοφίας ἀποπέμπειν τὰ τοῦ Διὸς, τουτέστι τῆς εἱμαρμένης δῶρα.

4. (f. 190 r.) Ζωροάστρης δὲ εἰδήσει τῶν ἄνω πάντων καὶ μαγείᾳ αὐχῶν, τῆς ἐνσώμου φράσεως φάσκει ἀποστρέφεσθαι πάντα τῆς εἱμαρμένης τὰ κακὰ, καὶ μερικὰ καὶ καθολικά. Ὁ μέντοι Ἑρμῆς ἐν τῷ περὶ ἀναυλίας διαβάλλει καὶ τὴν μαγείαν, λέγων ὅτι οὐ δεῖ τὸν πνευματικὸν [1375] ἄνθρωπον τὸν ἐπιγνῶντα ἑαυτὸν, οὔτε διὰ μαγείας καθορθοῦν τι, ἐὰν καὶ καλὸν νομίζηται, μηδὲ βιάζεσθαι τὴν ἀνάγκην, ἀλλ' ἐᾶν ὡς ἔχει φύσεως καὶ κρίσεως · πορεύεσθαι δὲ διὰ μόνου τοῦ ζητεῖν, ἑαυτὸν καὶ θεὸν ἐπιγνῶντα, κρατεῖν τὴν ἀκατονόμαστον τριάδα · καὶ ἐᾶν τὴν εἱμαρμένην ὃ θέλει ποιεῖν, τῷ ἐᾶν τῇ σπηλῷ, [1376] τουτέστιν τῷ σώματι. Καὶ οὕτως φησί · « Νοήσας καὶ πολιτευσάμενος θεάσῃ τὸν Θεοῦ υἱὸν, πάντα γινόμενον τῶν ὁσίων ψυχῶν ἕνεκεν · ἵνα αὐτὴν ἐκσπάσῃ ἐκ τοῦ χώρου τῆς εἱμαρμένης ἐπὶ τὸν ἀσώματον, ὅρα αὐτὸν γινόμενον πάντα, θεὸν, ἄγγελον, ἄνθρωπον παθητόν · πάντα γὰρ δυνάμενος πάντα ὅσα θέλει γίνεται, καὶ πατρὶ ὑπακούει διὰ παντὸς σώματος διήκων, φωτίζων τὸν ἑκάστης νοῦν, εἰς [1377] τὸν εὐδαίμονα χῶρον ἀνώρμησεν, ὅπουπερ ἦν καὶ πρὸ τοῦ τὸ σωματικὸν [1378] γενέσθαι, αὐτῷ ἀκολουθοῦντα καὶ ὑπ' αὐτοῦ ὀρεγόμενον καὶ ὁδηγούμενον εἰς ἐκεῖνο τὸ φῶς.

5. Καὶ βλέψαι τὸν πίνακα ὃν Κέβητος γράψας, καὶ ὁ τρίσμεγας [1379] Πλάτων, καὶ ὁ μυριόμεγας Ἑρμῆς, ὅτι Θώυθος ἑρμηνεύεται τῇ ἱερατικῇ πρώτῃ φωνῇ, ὁ πρῶτος ἄνθρωπος ἑρμηνεὺς πάντων τῶν ὄντων, καὶ ὀνοματοπο- (f. 190 v.) ιὸς πάντων τῶν σωματικῶν. Οἱ δὲ Χαλδαῖοι καὶ Πάρθοι καὶ Μῆδοι καὶ Ἑβραῖοι καλοῦσιν αὐτὸν

1370. F. l. εἰς τὰ λεγόμενα.
1371. F. l. ἄνους. — F. l. πομπέας.
1372. Ζωροάστρις MK.
1373. ἐναύλια K. F. l. ἡσυχίαν.
1374. μήτε] Lire μήποτε (?) comme dans Hésiode, Op. et D. 86.
1375. F. l. π. ἀναυδίας. Un des livres hermétiques est intitulé περὶ σιγῆς.
1376. θέλειν MK Corr. conj. — τῇ σπηλῷ] F. l. τῷ πηλῷ (*M. B.*).
1377. F. l. ἑκάστου.
1378. πρὸ τοῦτο MK. Corr. conj.
1379. καὶ βιτος MK. F. l. Κέβης τε ἔγραψε.

Ἀδὰμ, ᾧ ἐστιν ἑρμηνεία γῆ παρθένος, καὶ γῆ [1380] αἱματώδης, καὶ γῆ πυρά, καὶ γῆ σαρκίνη. Ταῦτα δὲ ἐν ταῖς βιβλιοθήκαις [1381] τῶν Πτολεμαίων ηὕρηνται · ὃν ἀπέθεντο εἰς ἕκαστον ἱερὸν, μάλιστα τῷ Σαραπείῳ, ὅτε παρεκάλεσεν Ἀσενὰν τῶν ἀρχιεροσολύμων [1382] πέμψαντα Ἑρμῆν ὃς είρμηνεύσε πᾶσαν τὴν Ἑβραΐδα ἑλληνιστὶ [1383] καὶ αἰγυπτιστί.

6. Οὕτως οὖν καλεῖται ὁ πρῶτος ἄνθρωπος ὁ παρ' ἡμῖν Θωΰθ, καὶ παρ' ἐκείνοις Ἀδὰμ, τῇ τῶν ἀγγέλων φωνῇ αὐτὸν καλέσαντες. [1384] Οὐ μὴν δὲ ἀλλὰ καὶ συμβολικῶς διὰ τεσσάρων στοιχείων ἐκ πάσης τῆς σφαίρας αὐτὸν εἰπόντες κατὰ τὸ σῶμα. Τὸ γὰρ ἄλφα αὐτοῦ στοιχεῖον ἀνατολὴν δηλοῖ, τὸν ἀέρα · τὸ δὲ δέλτα αὐτοῦ στοιχεῖον δύσιν δηλοῖ τὴν κάτω καταδύσασαν διὰ τὸ βάρος · τὸ δὲ Μ στοιχεῖον μεσημβρίαν δηλοῖ, τὸ μέσον τούτων τῶν σωμάτων πεπαντικὸν πῦρ τὸ εἰς τὴν μέσην τετάρτην ζώνην. Οὕτως οὖν ὁ σάρκινος Ἀδὰμ κατὰ τὴν φαινομένην περίπλασιν Θωὺθ καλεῖται · ὁ δὲ ἔσω αὐτοῦ ἄνθρωπος ὁ πνευματικὸς, < ὄνι > καὶ κύρομα ἐχειον καὶ προσηγορικόν. Τὸ μὲν οὖν κύριον ἀγνοῶν διὰ τὸ τέως · μόνος γὰρ Νικόθεος ὁ ἀνεύρετος ταῦτα [1385] οἶδεν · τὸ δὲ προσηγορικὸν αὐτοῦ ὄνομα φῶς καλεῖται, ἀφ' οὗ καὶ φῶτας παρηκολούθησε λέγεσθαι τοὺς ἀνθρώπους.

7. Ὅτε ἦν φῶς ἐν τῷ Παραδείσῳ διαπνεόμενος ὑπὸ τῆς εἱμαρμένης, ἔπεισαν αὐτὸν ὡς ἄκακον καὶ ἀνενέργητον (f. 191 r.) ἐνδύσασθαι τὸν παρ' αὐτοῦ Ἀδὰμ, τὸν ἐκ τῆς εἱμαρμένης, τὸν ἐκ τῶν τεσσάρων στοιχείων. Ὁ δὲ διὰ τὸ ἄκακον οὐκ ἀπεστράφη. Εἰ δὲ ἐκαυχῶντο ὡς δεδουλαγωγημένου αὐτοῦ τὸν ἔξω ἄνθρωπον, δεσμὸν εἶπεν ὁ Ἡσίοδος, ὃν ἔδησεν ὁ Ζεὺς τὸν Προμηθέα. Εἶτα μετὰ [1386] < τοῦτον > τὸν δεσμὸν, ἄλλον αὐτῷ δεσμὸν ἐπιπέμπει τὴν. Πανδώρην ἣν οἱ Ἑβραῖοι καλοῦσιν Εὔαν. Ὁ γὰρ Προμηθεὺς καὶ Ἐπιμηθεὺς [1387] εἷς ἄνθρωπός ἐστι κατὰ τὸν ἀλληγορικὸν λόγον, τουτέστι ψυχὴ καὶ σῶμα. Καὶ ποτὶ μὲν ψυχῆς ἔχει εἰκόνα ὁ Προμηθεὺς, ποτὲ δὲ νοός, ποτὲ δὲ σαρκὸς, διὰ τὴν παρακοὴν τοῦ Ἐπιμηθέως ἣν παρήκουσεν τοῦ Προμηθέως τοῦ ἰδίου < ἀδελφοῦ > · φησὶ γὰρ ὁ νοῦς ἡμῶν · ὁ δὲ υἱὸς τοῦ Θεοῦ πάντα δυνάμενος, καὶ πάντα γινόμενος, ὅτε θέλει, ὡς θέλει φαίνει ἑκάστῳ · Ἀδὰμ προσῆν Ἰησοῦς Χριστὸς < ὃς > ἀνήνεγκεν, [1388] ὅπου καὶ τὸ πρότερον διῆγον φῶτες καλούμενοι.

8. Ἐφάνη δὲ καὶ τοῖς πάνυ ἀδυνάτοις ἀνθρώποις, ἄνθρωπος γεγονὼς παθητὸς καὶ ῥαπιζόμενος, καὶ λάθρα τοὺς ἰδίους φῶτας συλήσας, ἅτε μηδὲν παθῶν, τὸν δὲ θάνατον δείξας καταπατεῖσθαι, καὶ ἐῶσθαι καὶ ἕως [1389] ἄρτι καὶ τοῦ τέλους τοῦ κόσμου τόποισι λάθρα, καὶ φανερὰ συλλῶν τοῖς [1390] ἑαυτοῦ, συμβουλεύων αὐτοῖς λάθρα καὶ διὰ τοῦ νοὸς αὐτῶν καταλλαγὴν ἔχειν τοῦ παρ' αὐτῶν Ἀδὰμ,

1380. Cp. Olympiodore (2, 4, 32).
1381. F. l. πυρρὰ.
1382. ἄσεναν M. — F. l. ἀρχιερέα Σολύμων.
1383. ἑρμήνευσε M. F. l. ὁ ἑρμηνεύσας.
1384. F. l. καλέσασι.
1385. F. l. ἀγνοοῦμεν εἰς τὸ τέως.
1386. Cp. Hésiode, Théogonie, vers 521.
1387. γὰρ] F. l. δὲ.
1388. F. l. πρώην Ἰ. Χ. ἀνήνεγκε.
1389. δείξας] F. l. δόξας.
1390. τόποις ἰλάθρα M. — συλλῶν] E. l. συλλαλῶν.

κοπτομένου καὶ φονευομένου παρ' αὐτῶν τυφληγοροῦντος καὶ διαζηλουμένου τῷ πνευματικῷ καὶ φωτεινῷ ἀνθρώπῳ, τὸν ἑαυτῶν Ἀδὰμ ἀποκτείνουσι.

9. Ταῦτα δὲ γίνεται ἕως οὗ ἔλθῃ ὁ ἀντίμιμος δαίμων, δι' οὗ ζηλούμενος αὐτοῖς καὶ θέλων ὡς τὸ πρώην πλανῆσαι λέ- (f. 191 v.) γων ἑαυτὸν υἱὸν Θεοῦ, ἄμορφος ὢν καὶ ψυχῇ καὶ σώματι. Οἱ δὲ φρονιμώτεροι [1391] γενόμενοι ἐκ τῆς καταλήψεως τοῦ ὄντως υἱοῦ τοῦ Θεοῦ, δίδουσιν αὐτῷ [1392] τὸν ἴδιον Ἀδὰμ εἰς φόνον τὰ ἑαυτῶν φωτεινὰ πνεύματα, σώζοντες ἴδιον χῶρον ὅπουπερ καὶ πρὸ κόσμου ἦσαν. Πρὶν ἢ δὲ ταῦτα τολμῆσαι, τὸν [1393] ἀντίμιμον, τὸν ζηλωτὴν, πρῶτον ἀποστέλλει αὐτοῦ πρόδρομον ἀπὸ τῆς Περσίδος, μυθοπλάνους λόγους λαλοῦντα, καὶ περὶ τὴν εἱμαρμένην ἄγοντα τοῦς ἀνθρώπους. Εἰσὶ δὲ τὰ στοιχεῖα τοῦ ὀνόματος αὐτοῦ ἐννέα, [1394] τῆς διφθόγγου σωζομένης, κατὰ τὸν τῆς εἱμαρμένης ὅρον. Εἶτα μετὰ περιόδους πλέον ἢ ἔλαττον ἑπτὰ, καὶ αὐτὸς ἑαυτῷ φύσει ἐλεύσεται. [1395]

10. Καὶ ταῦτα μόνοι Ἑβραῖοι καὶ αἱ ἱεραὶ Ἑρμοῦ βίβλοι περὶ τοῦ φωτεινοῦ ἀνθρώπου καὶ τοῦ ὁδηγοῦ αὐτοῦ υἱοῦ Θεοῦ, καὶ τοῦ γηΐνου Ἀδὰμ, καὶ τοῦ ὁδηγοῦ αὐτοῦ ἀντιμίμου τοῦ δυσφημίᾳ λέγοντος ἑαυτὸν [1396] εἶναι υἱὸν Θεοῦ πλάνῃ. Οἱ δὲ Ἕλληνες καλοῦσιν γήϊον Ἀδὰμ Ἐπιμηθέα συμβουλευόμενον ὑπὸ τοῦ ἰδίου νοῦ, τουτέστι τοῦ ἀδελφοῦ [1397] αὐτοῦ μὴ λαβεῖν τὰ δῶρα τοῦ Διός. Ὅμως καὶ σφαλεὶς καὶ μετανοήσας καὶ τὸν εὐδαίμονα χῶρον ζητήσας, πάντα ἑρμηνεύει καὶ πάντα συμβουλεύει τοῖς ἔχουσιν ἀκοὰς νοεράς · οἱ δὲ τὰς σωματικὰς ἔχοντες μόνον ἀκοὰς τῆς εἱμαρμένης εἰσὶ, μηδὲν ἄλλο καταδεχόμενοι ἢ ὁμολογοῦντες.

11. Ὅσοι τὰς καιρικὰς < ποιοῦσι καταβαφὰς > εὐτυχοῦντες οὐδὲν [1398] ἕτερον λέγουσι, τῆς τέχνης χλευάζοντες, ἢ τὴν μεγάλην περὶ καμίνων βίβλον · καὶ (φ. 192 ρ.) οὐδὲ τὸν ποιητὴν κατανοοῦσι λέγοντα ·

> ἀλλ' οὔπως ἅμα θεοὶ δόσαν ἀνθρώποισι [1399]

καὶ τὰ ἑξῆς. Καὶ οὐδὲν ἐνθυμοῦνται οὔτε βλέπουσι τὰς τῶν ἀνθρώπων διαγωγὰς, ὅτι καὶ εἰς μίαν τέχνην ἄνθρωποι διαφόρως εὐτυχοῦσι, καὶ διαφόρως τὴν μίαν τέχνην ἐργάζονται, διὰ τὰ ἤθη καὶ διάφορα σχήματα τῶν ἀστέρων μίαν τέχνην ποιεῖν. Καὶ τὸν μὲν ἄγων τεχνίτην, [1400] τὸν δὲ μόνον τεχνίτην, τὸν δὲ ὑποβεβηκότα, τὸν δὲ χείρονα, < τὸν δ' > ἀπρόκοπον, οὕτως ἐστὶν < εὑρεῖν > ἐπὶ πασῶν τῶν τεχνῶν καὶ διαφόροις ἐργαλείοις καὶ ἀγωγαῖς τὴν αὐτὴν τέχνην ἐργαζομένους καὶ διαφόρους [1401] ἔχοντας τὸ νοερὸν καὶ ἐπιτευκτικόν.

1391. φρονιμώτερον γενάμενοι MK.
1392. δίδωσιν MK.
1393. πρινὴ K (forme plus moderne).
1394. M mg. : σῃ', 1re main. — Le mot de neuf lettres ne serait-il pas φαοσφόρος (Lucifer, prince des démons « la diphthongue (αο) étant conservée ? » (Voir la note de la traduction.)
1395. περιόδου MK. Corr. conj. — F. l. ἑαυτοῦ
1396. λέγωντος MK.
1397. Cp. Hésiode, Op. et D., l. c.
1398. F. suppl. ὅσοι < δὲ. > — Guillemets dans M jusqu'à la ligne contenant ἀνθρώποισι.
1399. On ne retrouve ce fragment de vers ni dans Homère ni dans Hésiode.
1400. ἄγων] F. l. ἀργὸν.
1401. F. l. διαφόρως.

12. Καὶ μάλιστα ὑπὲρ πάσας τὰς τέχνας, ἐν τῇ ἱερατικῇ ταῦτά ἐστι θεωρῆσαι. Φέρε εἰπεῖν κατεαγότος ὀστέου, ἐὰν εὑρεθῇ ἱερεὺς ὃς τόδε διὰ τῆς ἰδίας δεισιδαιμονίας ποιῶν, κολλᾷ τὸ ὀστοῦν, ὥστε καὶ τρισμόν ἀκοῦσαι συνερχομένων εἰς ἄλληλα τῶν ὀστέων. Ἐὰν δὲ μὴ εὑρεθῇ ἱερεὺς, οὐ μὴ φοβηθῇ ἄνθρωπος ἀποθανεῖν, ἀλλὰ φέρωνται [1402] ἰατροὶ ἔχοντες βίβλους κατὰ ζωγράφους γραμμικὰς σκιαστὰς ἐχούσας γραμμάς · καὶ ὁσαιδηποτοῦν εἰσι γραμμαὶ, καὶ ἀπὸ βιβλίου περιδεσμεῖται ὁ ἄνθρωπος μηχανικῶς καὶ ζῇ χρόνον < τινὰ, > τὴν ὑγείαν πορισάμενος · καὶ οὐδήπου ἐφίεται ἄνθρωπος ἀποθανεῖν διὰ τὸ μὴ εὑρηκέναι ἱερέα ὀστοδέτην. Οὗτοι δὲ ἀποτυχόντες τῷ λιμῷ τελευτῶσι μὴ καταξιοῦντες τὴν ὀστοδητικὴν τῶν καμίνων διαγραφὴν νοῆσαι καὶ ποιῆσαι, ἵνα μακάριοι γενόμενοι νικήσωσι πενίαν, τὴν ἀνίατον νόσον. Καὶ ταῦτα μὲν ἐπὶ τοσοῦτον.

13. Ἐγὼ δὲ ἐπὶ (f. 192 v.) τὸ προκείμενον ἐλεύσομαι, ὡς ἔστι [1403] περὶ ὀργάνων. Λαβὼν γάρ σου τὰς ἐπιστολὰς ἃς ἔγραψας, εὗρόν σε παρακαλοῦσαν ὅπως καὶ τὴν τῶν ὀργάνων ἔκδοσίν σοι συγγράψω. Ἐθαύμασα δέ σε ὅτιπερ καὶ τὰ μὴ ὀφείλοντα συγγράφεις τυχεῖν παρ᾽ ἐμοῦ, ἢ οὐκ ἤκουσας τοῦ φιλοσόφου λέγοντος ὅτι « ταῦτα ἑκὼν παρεσιώπησα διὰ τὸ ἀφθόνως αὐτὰ ἐγκεῖσθαι καὶ ἐν ταῖς ἄλλαις μου γραφαῖς. Σὺ δὲ παρ᾽ ἐμοῦ ταῦτα μαθεῖν ἠβουλήθης · ἀλλὰ μὴ οἴου ἀξιοπιστότερον ἐμὶ τῶν ἀρχαίων ξυγγράψαι. Γίνωσκε ὡς οὐκ ἂν δυναίμην. Ἀλλ᾽ ἵνα καὶ πάντα τὰ παρ᾽ ἐκείνων λαληθέντα νοήσωμεν τοίνυν τὰ παρ᾽ ἐκείνων σοι ὑποθήσω. Ἔχει δὲ οὕτως.

Les paragraphes suivants (14-fin) *ont été collationnés sur* B, f. 82 v. ;— *sur* C, f. 56 r. ;— *sur* A, f. 80 v. (= A ou A^1) ;— *sur* A, f. 220 r. (= A^2) ;— *sur* K, (*continuation du texte précédent*).

14. Βίκος ὑέλεος, σωλὴν ὀστράκινος μῆκος πήχεως ἑνός. Λωπὰς [1404] ἢ ἄγγος στενόστομον ἐν ᾧ ἢ τῷ σωλῆνι τὸ πάχος βικίῳ τῷ στόματι [1405] αὐτοῦ. Ὁ δὲ τύπος < οὗτος. > Ἔχειν δὲ δεῖ ἐπίλιθον κρατηρίαν [1406] ὕδατος, καὶ παραψᾶν σπόγγῳ τὸ ἄγγος, καὶ ἐπὶ τῶν αἰθαλῶν καὶ τῆς ὑδραργύρου τὸ αὐτὸ. Ἔξεστι δὲ ἐν τῷ φανῷ καὶ τοῖς ὁμοίοις ὀργάνοις ἔχουσιν ἐγκάθισμα ὡσεὶ δρακοντῶδες πήσσειν τὴν ὑδράργυρον, καὶ ξανθὴν αὐτὴν καθιστᾶν διὰ τῆς τοῦ θείου ἀναθυμιάσεως, τῶν ἀρχαίων γραφῶν τοῦτο παρεγγυουσῶν. Ἀμοιροῦντος μὲν τοῦ [1407] φανοῦ Κρόνον, καὶ ἐπιθαυμάσεις ἐπὶ ταύτῃ τῇ γραφῇ ὅτι δύο μυστήρια [1408] ἐν αὐτῇ ἐκρύβη φανερὰ, καὶ οὐ ζητοῦμεν [ὅτι] πῶς ἡ τοῦ θείου [1409] αἰθάλη λευκαίνουσα τὴν ὑδράργυρον ξανθὴν ἀναδείκνυσιν · μήτι γε [1410] καυθείσης αὐτῆς ἐστι τοῦτο · ἔτι δὲ καὶ αὐτὴ

1402. φέρονται MK. Corr. conj.
1403. F. l. ὅ ἐστι.
1404. ὕελος M ; ὑάλινος $BCA^{1, 2.}$ (= B etc.). Corr. conj.
1405. ἐν ᾧ — αὐτοῦ om. B etc. — ἢ τῷ] F. l. ἤτοι.
1406. La figure annoncée manque. — κρατηρίαν] F. l. κρατῆρα ou κρατήριον.
1407. τοῦ μὲν φανοῦ ἀμ. puis le signe de Κρόνος ou du plomb B etc.
1408. ἐπιθαυμ.] θαυμάσεις BCA^1 ; θαυμάσης A^2.
1409. ἐκρύβησαν BC ; ἐκρίθησαν $A^{1, 2.}$.
1410. μή τοι γε B etc.

λευκὴ οὖσα καὶ δυνάμει καὶ ἐνεργείᾳ ὑπὸ λευκοῦ καιομένη καὶ πηγνυμένη, ὅπως ξανθὴ ἔρχεται. [1411]

15. Ἔδει τοίνυν τοὺς νέους πρό (f. 193 r.) γε πάντων ταῦτα ζητεῖν. Τὸ δὲ ἕτερον μυστήριον οἶμαι μὴ μόνην αὐτὴν πήγνυσθαι, ἀλλὰ καὶ μεθ' ὅλου τοῦ συνθέματος. Τὰ μέντοι ὄργανα εἰς ἃ γίνεται καὶ ὕδωρ θείου ἄθικτον, καὶ πῆξις ὑδραργύρου, καὶ μαλαγμάτων ποτίσεις, καὶ βαφὴ μαλαγμάτων, ἐστὶ ταῦτα.

(*Suit la formule de l'Écrevisse. — Voir l'Introduction de M. Berthelot*, p. 152, fig. 28).

16. Ὅτι ἀπὸ ἀσκιάστου χαλκοῦ ἰὸς γενόμενος ξανθωθεὶς αἰθαλοῦται · καὶ ἀποτίθεται ἐν μέλιτι λευκῷ.

17. Ὅτι καὶ τὸ μάλαγμα τὸ ἀπὸ τοῦ ἡμετέρου χαλκοῦ ξανθωθὲν ποιεῖ ἀντ' αὐτοῦ ἧττον δέ · ὅλα δὲ αὐτὰ κεῖται παρὰ [1412] Ἀγαθοδαίμονι.

18. Ὅτι καὶ τὸ μάλαγμα τὸ διὰ σκωριδίου βάλε ἐμφανῶς, καὶ [1413] πῆξον τῇ αἰθάλῃ τῶν θείων τῶν ἀναθυμιωμένων, ἵνα γένηται ὡς κιννάβαρις. Εἶτα βαλὼν εἰς βούκλας ἢ ληκύθια καὶ ἐκτείνας, χρῶ ὡς ἔχει ὀπίσω. [1414]

19. Ὡς φαίνεται οὖν, ὅλα τὰ εἴδη τὰ ἐξ αἰθαλῶν ὁ Ἀγαθοδαίμων, [1415] οἷον χρυσόκολλαν, καὶ ἐτήσιον, καὶ χρυσάνθιον, καὶ ἁπλῶς [1416] πάντα εἰς τὴν καταβαφὴν τοῦ ἀργύρου κέκραται, ὡς ἔχει αὐτοῦ ἡ [1417] ὑστέρα τάξις. Αἰθάλας δὲ βάλλει, ἵνα μὴ σκωριάσῃ ὁ ἄργυρος, ἢ ἀπουσιάσῃ τῶν παχέων σωμάτων καὶ γεωδεστέρων εἰωθότων καίεσθαι καὶ φρύγεσθαι.

✳
✳✳

1.1.51 3. — 50. ΠΕΡΙ ΤΟΥ ΤΡΙΓΒΙΚΟΥ ΚΑΙ ΤΟΥ ΣΩΛΗΝΟΣ.

Transcrit sur M, f. 194 r. — *Collationné sur* B, f. 83 v. ;— *sur* C, f. 57 r. ;— *sur* A, f. 81 r. (= A ou A^1) ;— *sur* A, f. 221 r. (= A^2) ;— *sur* K. f. 101 r.

1. Ἑξῆς δὲ τὸν τρίβικόν σοι ὑπογράψω. Καλεῖται δὲ αὕτη ἡ δι' ἀσκοῦ [1418] ἡ παρὰ Μαρίας τεχνοπαράδοτος · ἔχει δὲ οὕτως. « Ποίησον, [1419] φησιν, ἐκ χαλκοῦ

1411. ὅπως] B etc. — ἔρχεται] ἀποκαθίσταται B etc. F. l. ἐξέρχεται.
1412. Après αὐτοῦ] espace blanc pour 5 ou 6 lettres M seul. F. l. ὁμοίως.
1413. ἐμφανῶς] F. l. ἐν φανῷ.
1414. Entre nos §§ 18 et 19, les manuscrits donnent les signes du ciel, du soleil (ou de l'or), de la terre, du ciel. Les mêmes signes sont répétés dans B, au-dessus de ὅλα τὰ εἴδη.
1415. γοῦν B etc.
1416. χρυσόκολλα M.
1417. κραταιῶς ἔχει mss. Corr. conj.
1418. δι' ἀσκοῦ] F. l. διὰ χαλκοῦ.
1419. τεχνοπαραδότου] Cette leçon, commune aux divers mss. consultés, confirme la correction proposée ci-dessus, p. 138, l. 20. — Ποίησον] Cp. 3, 47 (= ⋆) § 5.

ἐλατοῦ σωλῆνας τρεῖς, λεπτὸν τὸ ἔλασμα ἔχοντας [1420] σταθμοῦ πάχος σμικρὸν παχύτερον ὡσεὶ χαλκοῦ τηγάνου πλακουντηρίου, μῆκος ἔχον πήχεος α′S′. Ποίησον οὖν σωλῆνας τρεῖς τοιούτους, [1421] καὶ ποίησον πάχος ἔχον τὸ μῆκος παρὰ παλαιστήν, ἄνοιγμα δὲ τοῦ [1422] χαλκείου σύμμετρον. Οἱ δὲ τρεῖς σωλῆνες ἐχέτωσαν τὸ ἄνοιγμα τραχήλου βίκου κούφου ἡλάριον, τοῦ δὲ ἀντίχειρας, ἵνα δύο λιχανοὺς [1423] αὐτοῦ ταῖς δυσὶν χερσὶν συναρηρότας ἐκ πλευρῶν. Τοῦ δὲ χαλκείου [1424] περὶ τὸν πυθμένα, αἱ τρεῖς τρῶγλαι προσαρμόζουσαι τοῖς σωλῆσι, καὶ [1425] ἁρμοσθέντες προσκολλάσθωσαν, τοῦ ἄνω παραδόξως πνεῦμα ἔχοντος. [1426] Καὶ ἐπιθεὶς τὸ χαλκεῖον ἐπάνω λωπάδος ὀστρακίνης ἐχούσης τὸ θεῖον, συμπεριπηλώσας τὰς συμβολὰς στέατι ἄρτου, ἔνθες ἐπὶ τὰ ἄκρα τῶν σωλήνων βίκους ὑελοῦς μεγάλους, παχεῖς, ἵνα μὴ ῥαγῶσιν ἀπὸ [1427] τῆς θέρμης τοῦ ὕδατος κομιζούσης ἀνὰ μέσον. Τὸ δὲ σχῆμα τοῦτο. [1428] Λιχανὸς σωλήν. [1429]

2. Ἔστι δὲ καὶ ἄλλος τρόπος κομιδῆς ὕδατος θείου, ἀλλ’ οὐχ ὡς ὁ τρίβικος. Ἔστω σωλὴν εἰς πυθμένα χαλκείου ἐντεθειμένος, μῆκος πήχεως α′S′. Τῷ αὐτῷ τρόπῳ καὶ βίκος εἷς · καὶ ὑποκάτω λωπὰς [1430] θείου ἀπύρου, εἰς ἣν συναρμόζει τὸ χαλκεῖον καὶ περιπηλοῖ στέατι [1431] ἢ κηρῷ, ἢ πηλῷ, ἢ ὡς βούλει · καὶ καύσας, ἀνάσπα. Ὁ δὲ τύπος οὗτος. [1432]

3. (f. 195 r.). Ἐγέλασά σοι καὶ εἰς ἐξάκουστον ἐν ταῖς τάξεσι τῶν [1433] ὀργάνων τούτων. Φησὶ γὰρ · « Εἰς ἑκάστην ἐχέτω ἡ λωπὰς μνᾶν θείου ἀπύρου. » Καὶ ἐθαύμασά σε καὶ ἐν τούτῳ ὅτιπερ οὐκ ἀνασχομένη τοῦ φθόνου ἠξίωσας καὶ ταῦτα γραφῆναί σοι. Τάχα δὲ καὶ εἰς κατάγνωσιν ἧκες τοῦ φιλοσόφου, ὅτιπερ ἐτόλμησεν εἰπεῖν ὅτι · « Ταῦτα ἑκὼν παρεσιώπησα διὰ τὸ ἀφθόνως αὐτὰ κεῖσθαι ἐν ταῖς ἄλλων γραφαῖς ... στέατι, [1434] ἢ κηρῷ, ἢ πηλῷ, ἢ ὡς βούλει, καὶ καύσας, ἀνάσπα. Ὁ δὲ τύπος οὗτος ἐν [1435] γραφαῖς. Καὶ ἐγκύψασα εἰς ἀκάματον φθόνον, κατέγνως τοῦ φιλοσόφου μάτην. Οὐ γὰρ ἐνόησας τί εἶπεν. Οὐκ εἶπεν γὰρ, ὡς καὶ ἐν τοῖς πρότερον [1436] ὑπομνήμασιν, ὅτι « τῶν ὑδάτων ἡ ποίησις, » ἀλλὰ « ἡ ἄρσις. » Ἕτερον

1420. λεπτὸν] λεῖπον MK. — ἔχοντας] ἔχων MK.

1421. μῆκος πηχῶν α′ S″, ποίησον τ. σωλ. BC ; μῖκος πῆχος α′ S′, ποίησον τ. σωλ. $A^{1.2.}$.

1422. πάχος] χαλκεῖον ⋆, f. mel. — ἔχειν BC, f. mel. ; ἔχει $A^{1.2.}$ — παρὰ] F. l. περὶ (environ).

1423. τράχηλον ⋆, f. mel. — βίκου] λιβυκοῦ mss. Corr. d’après ⋆. — F. l. ἡλαρίῳ δὲ τοὺς ἀντίχειρας. — λιβάνου mss. Corr. d’après ⋆.

1424. F. l. : ... ἐκ πλευρῶν τοῦδε < τοῦ > χαλκείου (leçon de ⋆).

1425. τρῶγλαι] γλῶσσαι B etc.

1426. F. l. παραλόξως (mot supposé) ; on connaît παραλοξαίνω.

1427. ὑέλους MK ; ὑελίνους BC ; ὑαλίνους $A^{1.2.}$. Corr. conj.

1428. ἀνὰ μέσον] τὸ ἀναβαῖνον B etc.

1429. Figure. — Pour l’indication des figures, voir dans la traduction française les renvois à l’Introduction de M. Berthelot.

1430. Cp. 3, 47, 2.

1431. F. l. συναρμόζεις *et* περιπηλοῖς, *vel* περιπήλου.

1432. οὕτως MK ; οἱ δὲ τύποι οὗτοι B etc. Corr. conj. — Figure (M, f. 194 v.).

1433. Les mss. MK continuent seuls. Cp. 3, 47, 4.

1434. Espace blanc avant στέατι. F. suppl. ἄρτου *vel* περιπήλου. Cp. p. précédente l. 14 et ci-dessus, l. 3.

1435. οὕτως MK.

1436. τοῖς] ταῖς M.

γάρ ἐστι ποίησις, καὶ ἕτερον ἄρσις. Οὐχ ὑδράργυρον αὐτῶν εἶπεν ἀφθόνως [1437] γεγράφθαι · τὴν δὲ ποίησιν οὐδεὶς αὐτῶν ἐξέθετο · τοῦτο γὰρ ἦν τὸ ἐμφανὲς μυστήριον, τοῦτό ἐστιν τὸ σφόδρα κεκρυμμένον. Ἡ οὖν ἄρσις [1438] τοιάδε ἐστὶν, ἡ διὰ τούτων τῶν ὀργάνων καὶ τῶν ὁμοίων, τῶν ὡς ἀπὸ τοῦ νοὸς γινομένων. Καὶ μάλιστα ἐὰν [εἴ] τις προπαιδευθῇ τὰ πνευματικὰ [1439] Ἀρχιμήδους, ἢ Ἥρωνος καὶ τῶν ἄλλων καὶ τὰ μηχανικὰ αὐτῶν.

4. ΠΕΡΙ ΕΤΕΡΩΝ ΚΑΜΙΝΩΝ. — Ἐπειδὴ ἑξῆς ὁ λόγος ἡμῖν περὶ καμίνων καὶ καταβαφῆς πρόκειται, οὐ βούλομαι πρὸς σὲ ποιεῖσθαι ἐμπεσοῦσαν ταῖς ἄλλων γραφαῖς. Καὶ γὰρ παρὰ Μαρία · « Ἡ τῆς ὁρωμένης καμίνου [1440] οὐ κεῖται διαγραφὴ, ἧς ὁ φιλόσοφος οὐκ ἐμνημόνευσεν, οὐ μόνον πρισμάτων [1441] καὶ τῶν ἄλλων περὶ ὧν ἠρέμα ἐν τῷ περὶ ποσότητος πυρὸς ὑπομνήματι διέλαβον. » Ἵνα οὖν μὴ δόξῃ τι λείπειν τοῖς (f. 195 v.) σοῖς γράμμασιν, [1442] ἔστω παρὰ σοὶ καὶ ἡ κάμινος Μαρίας, ἧς καὶ ὁ Ἀγαθοδαίμων ἐμνημόνευσεν ἐν τῷ λόγῳ οὕτως · « Ἡ δὲ τῆς κηροτακίδος τοῦ κρεμαστοῦ θείου τάξις οὕτως γίνεται. Λαβὼν φιάλην, σμέρησον, ἢ λίθῳ παράτεμε [1443] τὸ μέσον κυκλοτερῶς τὸν πυθμένα τῆς φιάλης, ἵνα ἐμβῇ κάτω ὀξύβαφον σύμμετρον. Καὶ βαλὼν ὀστράκινον ἄγγος λεπτὸν, προσηρμοσμένον τῇ φιάλῃ, ἵνα ᾖ κρεμαστὸν ἐκ τῆς φιάλης ἄνωθεν ἀπ' αὐτῆς ἀντεχόμενον · φθανέτω δὲ ἐπὶ τὴν σιδηρᾶν κηροτακίδα. Καὶ ἐπιθεὶς ὃ βούλει πέταλον, ἢ ὃ ἂν ἡ γραφὴ αἰτῇ ὑπὸ τὸ ἄγγος καὶ ὑπὸ τὴν κηροτακίδα [1444] ἅμα τῇ φιάλῃ, ἵνα ἔσωθεν βλέπῃς, καὶ συμπεριπηλώσας τὰς ἁρμογὰς, ἕψε ἐφ' ἃς λέγει ὥρας ἡ ἡμετέρα ἡ τάξις. Τοῦτό ἐστι τὸ κρεμαστὸν [1445] θεῖον, καὶ κρεμαστὸν ἀρσένικον ὁμοίως. Δίδου τρυμαλίαν λεπτὴν βελόνης, μέσον τοῦ ἄγγους. »

5. Ὑαλῆ ἄλλη φιάλη ὕπωμος τε · ἢ τω δὲ τὸ ἄγγος τὸ ὀστράκινον [1446] ἐοικὸς τοῖς τῶν ὀρβίων κύβοις, ἀλλ' ἐοικὸς τοῖς τῶν ἀγγείων κύβοις. [1447]

(F. 196 r.) 6. Ἡ δὲ κάμινος φουρνοειδὴς, φησὶν ἡ Μαρία, ἔχουσα ἄνω τρεῖς μαζοὺς, ἢ ἀνοχὰς, ἢ σύροντας. Καῦσον δὲ καλάμοις ἑλληνικοῖς [1448] κατὰ πρόβασιν, νυχθήμερα δύο ἢ τρία, πρὸς ὃ ἔχει ἡ βαφή [1449] · καὶ ἄφες ἀποφρυγῆναι ἐν τῇ καμίνῳ. Κατάσπα δὲ δι' ὅλης ἡμέρας ἄσφαλτον, ἐπιβάλλων ἃ οἶδας, καὶ χαλκὸν λευκὸν ἢ ξανθόν. Δύναται δὲ ὧδε γενέσθαι, καὶ τὸ ἠθμοειδὲς ὄργανον λευκαίνει, ξανθοῖ, ἰοῖ, [1450] παροπτᾷ, ἀντέσματα ποιεῖ, μαλαγμάτων καταβαφὰς, καὶ ὅσα

1437. οὐ puis le signe du mercure, puis μαυτον (*sic*) MK ; οὐχ ὑδράργυρον αὐτὼν B etc. Corr. conj. (*M. B.*). Cp. 3, 47, 4. (*C. E. R.*)

1438. τουτέστιν ⋆, f. mel.

1439. On ne connaît pas d'ouvrage, même perdu, d'Archimède intitulé πνευματικά.

1440. Cp. 3, 47, 1.

1441. πρησμάτων M.

1442. F. l. συγγράμμασι.

1443. σμέρησον] F. l. μέρισον.

1444. ὑπὸ τὸ ἄγγος] F. l. ὑπὲρ τ. ἄ. (*M. B.*).

1445. ἡ ἡμ.] ἢ ἡμετέρας MK.

1446. ὑάλη MK. Corr. conj. — ὕπωμος] F. l. ἄπωμος. — ἢ τῷ K. F. l. ἔστω.

1447. ἀλλ'] F. l. ἄλλως · ἐοικὸς τ. τ. ἀ. κύβοις (à considérer comme variante marginale introduite dans le texte ?). — Deux figures.

